Feci cuiusdam depravationis mentionem in *α* coniectatae. Sed cum observaveris formas *βαροῦνται* (IX, 65, 72), *ἀσχολοῦνται* (IX, 3), *ποιοῦνται* (IX, 5, 70), *κατακυκλοῦσι* (IX, 70), *λυποῦνται* (XI, 7), *ἀδικοῦνται* (XI, 11), *πυκνοῦνται* (IX, 70) et similia pro *βαρῶνται, ἀσχολῶνται* et cett., noli eas habere pro corruptelis, cum sat sint testimonia has formas in fontibus aeque extitisse. Item innutatum recepi verbum *ὑβρογάσαι* (IX, 38), retinui *ὠρυᾶσθαι* (XII, 70, 106), cum sint e vulgari usu sumpta et *ὠρυᾶσθαι* cum in Urbicio (p. 167 Sch.) tum in rec. Const. (XII, 106) traditum, necnon quibusdam locis formas *ἄπληκτοι* et *ἀπληκεύειν*, quas Leo fortasse promiscue cum formis *ἄπλικτον* et *ἀπλικεύειν* usitaverit, librarii vero codicum **M** et **W** (cf. vs. **815. 822. 1730.**) saepius repudiaverunt. Item promiscue usitavit Leo *βούκηνον* et *βούκινον*. Coniunctivos *δύνωνται* (IX, 29, 44), *γίνωνται* (VI, 15, IX, 15, XII, 92), *ἔρχωνται* (IX, 64) in sententiis, quae secundariis eodem tenore sint adnexae, *ἱστῶνται* (IX, 78), *προϊστῆται* (II, 8), *γίνηται* (IX, 7) *διδῶσιν* (XI, 49), *ἐπικέωνται* (XIV, 70), *ἐξέρχωνται* (VII, 62)

ab auctore nostro haud fuisse scriptos conplurium aut certe nonnullorum codicum consensus cum fontibus demonstrat, quanquam quoties auctor ipse (cf. IX, 71 [sed et XII, 118!] *ἀφίειν*), quoties librarii vocabula usu quotidiano trita (II, 37, XI, 20 et illa e vulgari sermone „*ἰσότητος ἕνεκα*“ recepta, ex. gr. VII, 11, IX, 15, 29, 72, XI, 11, 22, 39) induxerint, nec mihi nec tibi indicaturo ubique licuerit. Contra puto certa inveniri indicia, quae prohibeant, quominus *ἐστὶ* et *εἰσὶν* II, 11, 14, 16, 37, IV, 57, V, 11, VI, 2, 22, VII, 5, 16, 33, IX, 7, 24 etc., in *ᾖ* et *ὦσιν* corrigerentur, *ὦσι* e. gr. IV, 42, IX, 29, XII, 49, XIV, 24 in *εἰσι* mutaretur.

Reliquum est, ut uni cuique viro hac de editione optime merito grates agam quam maximas, singillatim praefectis inlustrissimis bybliothecarum Ambrosianae, Escorialensis, Laurentianae, Leydensis, Monacensis, Neapolitanae, Parisinae, Vaticanae, Vindobonensis, — Academiae deinde Litterarum Hungaricae, — et quem gratanter adire prius me inhibitum duxi eximii viri modestia, *Alberto* dico *Berzeviczy de Kakas-Lomnicz et Berzevicze*, cuius erga humanitatem et studia antiquitatis ardor non tantum nuperrime egregie praenituit, sed cuius inpulsu atque inceptu factum est, ut voluntate *Societatis Hungaricae Primae*, quae operatur, ut bonis pericula virium elementorum caveat, sumptus huius tomi *Sylloges Tacticorum* sodalibus Collegii Historicorum Romani largiter praesto essent. Quae Sylloge ut ad finem perfectum persolveretur, bonum, faustum, felix fortunatumque eveniat!

Dabam Budapestini, Idibus Decembribus 1915.

CONPENDIA SCRIPTURAE.

= explicit versus, in Leonis editione Meursiana pagina.

= columna incipit in editione J. P. Migne. Signo distinguuntur variae lectiones.

= item columna in editione Lamiana recensionis Constantinianae.

* = una littera erasa.

§ = paragraphus.

§§ = paragraphi.

'''' = 1. litteras evanidas significat; 2. rasuras inter litteras, sed inter litteras unius vocabuli; 3. rasuram supra litteras.

a. c. = ante correcturam.

Ael. = *Aeliani Tactica, edita ab Arminio Koechly et Guilelmo Rüstow in opere „Griechische Kriegsschriftsteller (Lipsiae, 1853—1855)" II a pp. 199—554.*

Anon. B. vel *Anon. Byz.* = *Anonymi Byzantini saec. VI. Tactica, edita ab Arminio Koechly et Guilelmo Rüstow in opere „Griechische Kriegsschriftsteller (Lipsiae, 1853—1855)" II b pp. 1—209.*

Arrh. = *Arrhiani Tactica, edita a Rudolfo Hercher inter „Arriani Nicomediensis Scripta minora. (Iterum recogn. . . . Alfredus Eberhard; Lipsiae, 1885)" pp. 104—139.*

Asclep. = *Asclepiodoti Tactica, edita ab Arminio Koechly et Guilelmo Rüstow in opere „Griechische Kriegsschriftsteller (Lipsiae, 1853—1855)"* II a pp. 127—197.

Blass-Debrunner[4] = *Friedrich Blass' Grammatik des neutestamentlichen Griechisch. Vierte, völlig neu gearbeitete Auflage bes. v. Albert Debrunner. (Göttingen, 1913.)*

Byz. Zs. vel *Byz. Z.* = *Byzantinische Zeitschrift. (Lipsiae, inde ab anno 1892.)*

Cecaum., Cecaumenus = *Cecaumeni Strategicon et Incerti scriptoris De officiis regiis libellus. Ediderunt B. Wassiliewsky, V. Jernstedt. (Petropoli, 1896.)*

cf. = confer, conferatur.

cff. = conferantur.

Checus = Versio Latina Leonis Tacticorum ab Joanne Checo facta. (Basileae, 1554.)

cod. = codex, codicis etc.

cod.-is = codicis.

codd. = codices, codicum etc.

conl. = conlato, conlata.

conll. = conlatis.

Const. et *Const. Porph.* = Constantinus Porphyrogenitus. Saepius citatur opus: „*Constantini Porphyrogeniti imperatoris De cerimoniis aulae Byzantinae libri duo. E recensione Jo. Jac. Reiskii. (Bonnae, 1829, 1830.)*

const. = constitutio, constitutionis etc.

Crönert = *Memoria Graeca Herculanensis. Cum titulorum Aegypti papyrorum, codicum denique testimoniis comparatam proposuit Guilelmus Crönert. (Lipsiae, 1903.)*

Dieterich = *Untersuchungen zur Geschichte der griechischen Sprache. Von der hellenistischen*

Zeit bis zum 10. Jahrhundert n. Chr. von Karl Dieterich. (Lipsiae, 1898.)

Du Cange = *Glossarium ad scriptores mediae et infimae Graecitatis auctore Carolo Du Fresne, domino Du Cange. Effigies recens cum vetere editione anni 1688 prorsus congruens. Ed. altera. (Parisiis et Lipsiae, 1905.) 2 voll.*

e. gr. = exempli gratia.

ed. = edidit.

edd. = ediderunt.

etc. = et cetera.

Georg. Acrop. = *Georgii Acropolitae Opera. Rec. Augustus Heisenberg. (Lipsiae, 1903.) 2 voll.*

Helbing = *Grammatik der Septuaginta. Laut- und Wortlehre von Dr. Robert Helbing. (Göttingen, 1907.)*

Haase, (rectius:) *Hase* = *Leonis Diaconi Caloënsis Historiae libri decem et liber De velitatione bellica Nicephori Augusti. E recensione Caroli Benedicti Hasii.* (Bonnae, 1828.)

Hatzidakis = *Einleitung in die neugriechische Grammatik von G. N. Hatzidakis. (Lipsiae, 1892.)*

Inc. scriptor Byz. vel *Inc. scriptor saec. X.* = *Incerti scriptoris Byzantini saec. X. Liber de re militari. Recensuit Rudolfus Vári. (Lipsiae, 1901.)*

„*Ined. Tact. L.*“ = Inedita Tactica Leonis, descripta a me e codice Bernensi 97.

in mge, in marg. = in margine.

in ras. = in rasura.

Koechly-Rüstow = *Griechische Kriegsschriftsteller. Griechisch und deutsch mit kritischen und erklärenden Anmerkungen von H. Köchly und W. Rüstow. (Lipsiae, 1853—1855.) 3 voll.*

Kühner-Blass = *Ausführliche Grammatik der griech. Sprache von Dr. Raphael Kühner. I. Teil. 3. Aufl. in 2 Bänden in neuer Bearbeitung besorgt von Dr. Friedrich Blass. (Hannoverae, 1890, 1892.)*

Kühner-Gerth[3] = *Ausführliche Grammatik der griech. Sprache v. Dr. Raphael Kühner. II. Teil. 3. Aufl. in 2 Bänden in neuer Bearbeitung besorgt v. Dr. Bernhard Gerth. (Hannoverae, Lipsiae, 1898, 1904.)*

Kurtz = *Zwei griechische Texte über die hl. Theophano, die Gemahlin Kaisers Leo VI. Herausgeg. v. Eduard Kurtz. (Mémoires de l'Académie Impériale des sciences de St.-Pétersbourg. VIIIe Série. Classe Historico-philologique. Vol. III. N° 2; Petropoli, 1898.)*

l. l. = liber laudatus, libro laudato, loco laudato.

m. = manus, manu.

m[1], m. pr. manus prima.

m. alt. = manus altera.

m. r. = manus recens, recentior.

mss. = manuscripta, manuscriptorum etc.

Mayser = *Grammatik der griechischen Papyri aus der Ptolemäerzeit. Mit Einschluß der gleichzeitigen Ostraka und der in Ägypten verfaßten Inschriften. Laut- und Wortlehre v. Dr. Edwin Mayser. (Lipsiae, 1906.)*

Mgn. = Migne. V. Praef. p. XXIX.

Niceph. Phoc. v. *Haase*, (rectius:) *Hase.*

om. = omittit.

omm. = omittunt.

Onas. = *Onosandri De imperatoris officio liber. Rec. et commentario critico instruxit Arminius Koechly. (Lipsiae, 1860.)*

p. = pagina.

pp. = paginae, paginarum etc.

Philonis Mech. synt. = *Philonis Mechanicae Syntaxis liber quartus et quintus. Rec. Richardus Schoene. (Berolini, 1893.)*

Polyb. = *Polybii Historiae. Editionem a Lud. Dindorfio curatam retractavit Theodorus Büttner-Wobst. (Lipsiae, 1882, 1889, 1893.)*

„*Praecc. (Praec.) Niceph.*“ vel *Praecepta Nicephori* = *Nicephori Praecepta militaria ex codice Mosquensi edidit Julianus Kulakovskij. (Mémoires de l'Académie Impériale des sciences de St.-Pétersbourg. VIIe Série. Classe Historico-Philologique. Vol. VIII. N° 9; Petropoli, 1908.)*

Preuschen = *Vollständiges Griechisch-Deutsches Handwörterbuch zu den Schriften des Neuen Testaments und der übrigen urchristlichen Literatur von D. Dr. Erwin Preuschen. Giessae, 1910.)*

Psaltes = *Grammatik der byzantinischen Chroniken von Stamatios B. Psaltes. (Göttingen, 1913.)*

rec. = recens, recenti.

Rec. Const. „Praeceptt. Nic.“ = Recensio Constantiniana „Praeceptorum Nicephori“ e cod. Monacensi 452 gr. a me descripta.

s. = sequens, sequenti.

ss. = sequentes, sequentibus.

s. v. = sub voce.

Scheffer = *Arriani Tactica et Mauricii Artis militaris libri duodecim. Omnia nunquam ante publicata Graece primus edit, Versione Latina Notisque illustrat Joannes Schefferus. (Upsaliae, 1864.)*

*Sophocles*³, *Sophocl. Lex.*³ = *Greek Lexikon of the Roman and Byzantine periods. By. E. A. Sophocles. (Novi Eboraci, 1900.)*

Urbicius, Urb. v. Scheffer.

Urlichs-Müller = *Ein griechisches Fragment über Kriegswesen. Von K. K. Müller. (Strena Philologa Ludovico Urlichsio per viginti quinque annos professori Universitatis Virceburgensis a discipulis oblata; Virceburgi, 1880, pp. 106—138.)*

v. = vide, videatur.

v. l. = varia lectio.

vs. = versus, versum etc.

vss. = versus, versuum etc.

ΛΕΟΝΤΟΣ ΕΝ ΧΡΙΣΤΩ

ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΤΩΝ ΕΝ ΠΟΛΕΜΟΙΣ ΤΑΚΤΙΚΩΝ

ΣΥΝΤΟΜΟΣ ΠΑΡΑΔΟΣΙΣ.

Titulum operis typis supra expressum praebet **M**; in codice **A** titulus desideratur; in codicibus **P_1** et **E** tabula materiae verbis *Λέοντος ἐν χριστῷ αὐτοκράτορος τῶν ἐν πολέμοις τακτικῶν σύντομος παράδοσις* incipiens praecedit opus. Codices **W** et **V**, de quibus praefationem conferas oportet, initio mutili sunt. — Post *Χριστῷ* **Lamius** *τῷ Θεῷ* inseruit.

Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς Τριάδος, τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ θεοῦ ἡμῶν, c. 672 Migne

Λέων

ὁ εἰρηνικὸς ἐν Χριστῷ αὐτοκράτωρ, πιστός, εὐσεβής, ἀεισέβαστος Αὔγουστος.

1. Οὐ βασιλικὴ δορυφορία καὶ ἐξουσία, οὐ τῆς ἐξου- [p. 5. M.]
σίας δυναστεία καὶ περιουσία, οὐ τῆς περιουσίας || ἐπίδειξις c. 673.
καὶ ἀπόλαυσις, οὐδὲν ὅσα τῶν ἐν ἀνθρώποις ἐφετῶν καὶ τιμίων τὴν ἡμετέραν οὕτως εὐφραίνει βασιλείαν, ὡς ἡ τῶν ὑπηκόων εἰρήνη καὶ εὐημερία, καὶ τῶν πολιτικῶν πραγμάτων ἡ δι᾽ αὐτῶν ἐπὶ τὸ κρεῖττον κατάστασίς τε καὶ ἐπανόρθωσις. ὥσπερ τὸ ἐναντίον οὐδὲν οὕτω τὴν ἡμῶν καρδίαν ἀνιᾷ καὶ λυπεῖ, ὡς ἡ τῶν ὑπὸ χεῖρα δυσπραγία καὶ τῶν περὶ αὐτοὺς ἀγαθῶν ἡ δι᾽ ἀμελείας ἐλάττωσις καὶ κατάπτωσις. εἰ γὰρ ἑνὸς ἀνδρὸς τῆς ἡμῶν ἠξιωμένου προνοίας ἡ μὲν ἐπὶ τὸ κρεῖττον ἀνάνευσις ἄφατον ἡμῖν εὐφροσύνην ἐργάζεται, ἡ δ᾽ ἐπὶ τὸ χεῖρον
ἀπόνευσις ἀλγηδόνα | ψυχῆς ἀνυπέρβλητον, τί οὐκ ἂν [p. 6. M.]
πάθωμεν τοσούτων μυριάδων τῆς ἡμῶν μετὰ θεὸν ἠρτη-

1—8. solus **M** habet || 8. *'ΑΕΊCΕΒΑCΤΟC* **M** || Cf. Byz. Zs. VI, 390 || *Αὔγουστος* litteris maiusculis, non *Αὐγοῦστος* **M** || 11. *ἐφετῶν*] *ἐπιθυμητῶν* **A P$_1$ E** || 14–15. *τε καὶ ἐπανόρθωσις* omittunt **P$_1$ E** || 20. *δὲ* **A P$_1$ E** || 21. *ἀλγηδόνα*] *ὀδύνην* **A P$_1$ E** || 22. *πάθοιμεν* **M** ||

μένων προνοίας; ὃν τὴν φροντίδα καὶ ἐπιμέλειαν χρεωστοῦντες νύκτωρ μὲν ἐπαγρυπνοῦμεν, ἡμέρας δὲ διαμελετῶμεν πάσης μὲν ἀηδίας καὶ βλάβης ἐλευθέρους διατηρεῖσθαι, πάσης δὲ χαρᾶς καὶ εὐημερίας προσηκόντως ἐπαπολαύειν.

2. *Ἀλλὰ τῶν μὲν ἄλλων περὶ τὴν πολιτείαν πραγμάτων μικράν τινα δεξαμένων ἴσως ἐλάττωσιν οὐ τοσαύτην κατανοοῦμεν τὴν βλάβην, τῆς δὲ στρατηγικῆς μεθόδου διαπεσούσης τοσοῦτον κατόπιν τὰ Ῥωμαίων συνηλάθη πράγματα, ὅσον ἡ πεῖρα τοῦ νῦν χρόνου πᾶσιν ἅπαντα κατ᾽ ὀφθαλμοὺς ὁρώμενα παρίστησι πρόδηλα.*

3. *Ἔδει μὲν γὰρ ἀνθρώπους ἅπαντας, εἰκόνι θεοῦ καὶ λόγῳ τετιμημένους, τὴν εἰρήνην ἀσπάζεσθαι καὶ τὴν εἰς ἀλλήλους περιθάλπειν ἀγάπην καὶ μὴ χεῖρας φονίους κατὰ τῶν ὁμογενῶν καθοπλίζειν. ἐπειδὴ δὲ ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος διάβολος καὶ τοῦ γένους ἡμῶν ἐχθρὸς διὰ τῆς ἁμαρτίας ἰσχύσας κατὰ τῆς ἰδίας φύσεως ἀντιστρατεύεσθαι τοὺς ἀνθρώπους παρεσκεύασεν, πᾶσα ἀνάγκη ταῖς αὐτοῦ γινομέναις διὰ τῶν ἀνθρώπων μηχαναῖς ἀνθρώπους ἀντιστρατεύεσθαι καὶ τοῖς ἐθέλουσι πολέμους ἔθνεσι μὴ εὐχειρώτους καθίστασθαι, ἀλλὰ ταῖς* [p. 7. M.] *στρατηγικαῖς μεθόδοις τὴν σωτηρίαν πορίζεσθαι καὶ δι᾽ αὐτῶν φυλάττεσθαι μὲν ἀπὸ τῶν ἐπερχομένων πολε-*

22—23. *ἠρτημένων*] *ἐκκρεμαμένων* **AP₁E** || **23.** *καὶ τὴν ἐπιμέλειαν* **P₁E** || *ἐπιμελείαν* **MA** || **24.** *νυκτὸς* **AP₁E** || **31.** *τοσούτω* **MA** || *κατόπιν* in **P₁E** post verbum *συνηλάθη* legitur || **32.** *νῦν* omittunt **P₁E** || **37—38.** *φονικὰς χεῖρας* **AP₁E** || **39.** *ἀπ᾽ ἀρχῆς* Meursii codex, *ἀπάρχῆς* **E**, *ἀπαρχῆς* **MAP₁** || *διαβολικὸς* **M** || **40.** *ἰσχύρας* **P₁**, *ἰσχυρᾶς* **E** || **47.** *δρᾶν*] *πράττειν* **AP₁E** || *ὅσα ἐκεῖνοι μαθεῖν εἰσὶν ἄξιοι* **AP₁E**.

FONTES. *Urbicii* Tact.-Strat. Praef. 2: *Τῆς στρατιωτικῆς καταστάσεως ἀμεληθείσης χρονῷ πολλῷ καὶ εἰς παντελῆ λήθην ὡς εἰπεῖν ἐλθούσης, ὡς μηδὲ αὐτὰ τὰ πρόχειρα τοὺς στρατηγεῖν ἐγχειροῦντας ἐπίστασθαι πολλά τε δυσχερῆ διαφόρως συμβῆναι, καὶ ποτὲ μὲν ἀγυμνασίαν αἰτιῶ-*

PROOEMIUM.

μίων, δρᾶν δὲ κατ᾽ αὐτῶν, ὅσα παθεῖν ἐκεῖνοι ἂν εἶεν ἄξιοι, ὡς ἂν ἐκκοπέντος τοῦ διὰ τῶν πονηρῶν ἐγχειρουμένου κακοῦ καὶ πάντων τὴν οἰκείαν σωτηρίαν ἀσπαζομένων ἡ εἰρήνη παρὰ πᾶσι στερχθείη καὶ πολιτεύοιτο.

4. Ἕως μὲν γάρ, ὡς ἔοικε, τὰ κατὰ πολέμους Ῥωμαίοις ἐν εὐταξίᾳ ὄντα ἐτύγχανε τῆς τε ἐπ᾽ οὐκ ὀλίγους χρόνους θείας ἀπέλαυε βοηθείας τὸ κράτος καὶ τῇ εὐταξίᾳ κιρνώμενος τῶν ἀριστέων ὁ πόνος, — τὸ λαμπρὸν τῆς νίκης ἐπὶ πλέον ἐταινιοῦτο. νῦν δὲ τῆς τακτικῆς τε καὶ στρατηγικῆς καταστάσεως ἐπ᾽ οὐκ ὀλίγους χρόνους ἀμελουμένης — ἵνα μὴ λέγω καὶ εἰς παντελῆ περιελθούσης λήθην, — ὡς μηδὲ αὐτὰ τὰ πρόχειρα τοὺς στρατηγεῖν ἐγχειροῦντας ἐπίστασθαι, || πολλὰ δυσχερῆ διαφόρως ὁρῶμεν συμβαίνοντα. τῆς γὰρ c. 676.
πολλῶν ἀγαθῶν προξένου ἐπιστήμης διαπεσούσης, ὅσων δι᾽ αὐτῆς ἡ Ῥωμαίων πάλαι πολιτεία εὐμοίρησε, τοὐναν-

---

50. *πάντων* **AP₁E** || *ἀγαπηθῇ* **AP₁E** || 51—52. Pro *ἕως . . . . ἐτύγχανε* legitur in **AP₁E**: *ἕως μὲν γὰρ οἱ ῥωμαϊκοὶ πόλεμοι ἐν* (*ἐν* omm. **P₁E**) *εὐταξίᾳ ἐγένοντο* (*ἐγίνοντο* **A**) || 52—53. *τε ἐπ᾽ οὐκ ὀλίγους χρόνους* omm. **AP₁E** || 53. *ἀπέλαβε* **AP₁** || *καὶ . . . . 55. ἐταινιοῦτο* omm. **AP₁E** || 54. *ἀριστέων* ego, *ἀριστείων* **M** || 55. *ἐπιπλέον* **M** || 56. *τε* omm. **AP₁E** || 56—57. *ἐπὶ χρόνους οὐκ ὀλίγους* **AP₁E** || 58. *τά* omm. **MA** || 61. *ὅσον* **AP₁E** || 62. *διαυτῆς*, quo verbo textus codicis incipit, **W** || *εὐμοίρησεν* **W** || *τὸ ἐναντίον* **AP₁E**.

θῆναι στρατιωτῶν, ποτὲ δὲ ἀπειρίαν στρατηγῶν καταμέμφεσθαι, συν-

PROOEMIUM.

τίον ὁρῶμεν τὴν θείαν ἀποῦσαν εὐμένειαν καὶ τὴν συνήθη τῆς Ῥωμαίων πολιτείας νίκην τῶν ἀγωνιζομένων ἀφιπταμένην. κατὰ μικρὸν γὰρ ἀμελουμένης τῆς κατὰ πολέμους εὐταξίας καὶ γυμνασίας συνημελήθη, ὡς ἔοικε, καὶ τῶν ἀριστέων ἡ εὐψυχία. εἶτα ποτὲ μὲν ἀγυμνασίαν ἢ ἀνανδρίαν αἰτιώμεθα στρατιωτῶν, ποτὲ δὲ ἀπειρίαν ἢ δειλίαν καταμεμφόμεθα στρατηγῶν, ἐνίοτε δὲ ἀσάφειαν τῆς τῶν ἀρχαίων τακτικῶν διαγνώσεως ἀμελοῦμεν. ταύτην οὖν τὴν ὀνησιμωτάτην ἐπιστήμην ἀνασώσασθαι [p. 8. M.] *σὺν θεῷ καὶ οἷον ἀπωσθεῖσαν ἐκ τῆς Ῥωμαϊκῆς ἡμῶν πολιτείας ἀνακαλέσασθαι βουλόμενοι, οὐκ ὠκνήσαμεν σπουδῇ τοσαύτῃ ἀναδέξασθαι μὲν ἰδίως πόνον, κοινὴν δὲ τοῖς ὑπηκόοις χαρίσασθαι τὴν ὠφέλειαν.*

5. *Ταῖς γὰρ ἀρχαίαις καὶ δὴ καὶ ταῖς νεωτέραις στρατηγικαῖς τε καὶ τακτικαῖς ἐμφιλοχωρήσαντες μεθόδοις καὶ ταῖς ἄλλαις καταλογάδην ἐντυχόντες ἱστορίαις,*

66. *ὡς ἔοικε* omm. **A P₁ E** || **67.** Post verbum *εὐψυχία* exciderunt fortasse aliqua, e sententia vss. **65—66.** enucleanda, e. gr. *καὶ ἐμπειρία* vel simile || **67—68.** *αἰτιώμεθα ἀγυμνασίαν ἢ ἀνανδρίαν* **P₁ E** || **69.** *πολλάκις* **A P₁ E** || **69—70.** Pro *ἀσάφειαν . . . . ἀμελοῦμεν* **A P₁ E** *τὴν τῶν ἀρχαίων τακτικῶν διάγνωσιν ὡς ἀσαφῆ καὶ δύσκολον παρορῶμεν* exhibent || **70.** *τακτικῶν* om. **M** || Inde a *τῆς* usque ad **75** *ὠφέλειαν* litterae codicis **W** vix possunt investigari || **71.** *ὠφελιμωτάτην* **A P₁ E** || **72.** *ἀποδιωχθεῖσαν* **A P₁ E** || *ἐκ* om. **M,** atque, ni scriptura pallida fallit, **W** || **76.** *καὶ δὴ* omm. **A P₁ E** || **77.** *ἐμφ.*] *φιλοπόνως ἐντυχόντες* **A P₁ E** || **78.** *τὰς ἄλλας* [*καταλ. ἐντ.*] *ἱστορίας ἀνερευνήσαντες* **A P₁ E** || **79.** *καὶ εἴτι* **W P₁ E** *καὶ εἴτε* **M A** || *κατὰ χεῖρας* omm. **A P₁ E** || *χρήσιμον ἔδοξε* **A P₁ E.**

εἴδομεν ἔκ τε τῶν ἀρχαίων λαβόντες καὶ μετρίαν πεῖραν ἐπὶ τῶν ἔργων εὑρόντες ταύτην συγγραφῇ παραδοῦναι κατὰ τὸ ἡμῖν δυνατὸν συντόμῳ τε καὶ ἁπλῇ, τὴν ὠφέλειαν ἐπὶ τῶν πραγμάτων ἐχούσῃ μᾶλλον ἤπερ ἐν λέξεσι. τοῦτο δὲ πράττομεν οὐ καινουργεῖν ἢ πλέον τι τῶν παλαιῶν ἐπινοῆσαι βουλόμενοι, . . . ἡμεῖς δὲ χρειῶδες καὶ τοῦτο κρίνοντες εἶναι . . . εἰσαγωγὴν τοῖς εἰς τὸ στρατηγεῖν ἐπιβαλλομένοις ἐφεύραμεν, ὡς εὔκολον εἶναι ἐντεῦθεν τοῖς βουλομένοις καὶ ἐπὶ τὰ μείζω τῶν τακτικῶν ἐκείνων καὶ ἀρχαίων θεωρημάτων βαθμῷ τινι προϊόντας ἐλθεῖν. φράσεως μὲν οὖν ἀκριβοῦς ἢ κόμπου ῥημάτων

PROOEMIUM.

καὶ εἴ τι κατὰ χεῖρας ἔδοξε χρήσιμον τῶν ἐν πολέμοις ἀναγκαίων, ἐκεῖθεν ἀναλεξάμενοι καὶ οἷον ἐρανισάμενοι, ὅσα καὶ διὰ μετρίας πείρας ἐπὶ τῶν ἔργων αὐτῶν ἀνεμάθομεν τῷ καθ' ἡμᾶς καιρῷ καὶ τῇ νῦν καταστάσει πρόσφορά τε καὶ ἁρμόδια, ταῦτα ὑμῖν κατὰ τὸ δυνατὸν συντόμως τε καὶ ἁπλῆν τὴν ὠφέλειαν ἐπὶ τῶν πραγμάτων ἔχοντα προχείρου τάξιν νόμου παραδιδόαμεν, ἐν πράξεσι μᾶλλον ἢ λέξεσι τὸ σεμνὸν καὶ χρειῶδες παρεχόμενοι, οἷον εἰσαγωγήν τινα τακτικὴν τοῖς ἡμετέροις ὑποστρατήγοις καὶ τὰς πολεμικὰς ἐμπεπιστευμένοις χρείας, δι' ὑμῶν ὑπαγορεύοντες, ὡς εὔκολον ἐντεῦθεν εἶναι τοῖς βουλομένοις καὶ ἐπὶ τὰ μείζω τῶν παλαιῶν ἐκείνων τακτικῶν καὶ ἀρχαίων ⟨θεωρημάτων⟩ τάξει τινὶ καὶ βαθμῷ

80. *ἐπιλεξάμενοι* **P_1E** || *καὶ οἷον ἐρανισάμενοι* deest in **AP_1E** || **81.** *καὶ ὅσα* **AP_1E** || *δι' ὀλίγης* **AP_1E** || **84.** *σύντομον* **AP_1E** || *ἁπλὴν* **MWP_1E** || **85.** *ἔχοντα ὡς ἄλλον πρόχειρον νόμον παραδ.* **AP_1E** || **87.** *εἴσοδον* **AP_1E** || Inde a *τινα* usque ad **90** *τοῖς* parum possunt legi in **W** || **88.** *ὑποστρατηγοῖς* **codd.**, corr. **Meursius** || *πολιτικὰς* **AP_1E** || **90.** *μείζονα* **AP_1E** || **91.** Ex Urbicio inserui. Cf. Arg. in Epil. §. 70. || **92.** *προχωρεῖν* **AP_1E.**

ἡμῖν, ὡς εἴπομεν, οὐδεμία φροντίς, οὐδέ γὰρ ἔργον ἦν ἱερόν, πραγμάτων δὲ μᾶλλον καὶ συντομίας λόγος γέγονεν. ὅθεν καὶ Ῥωμαϊκαῖς πολλάκις καὶ ἄλλαις ἐν στρατιωτικῇ συνηθείᾳ τετριμμέναις κεχρήμεθα λέξεσι διὰ τὴν σαφῆ τῶν ἐντευξομένων κατάληψιν. καὶ εἰ μὲν

PROOEMIUM.

προΐεται, φράσεως μὲν ἀκριβοῦς ἢ κόμπου ῥημάτων οὐδεμίαν ποιησάμενοι φροντίδα, πραγμάτων δὲ μᾶλλον καὶ σαφηνείας, λόγου καὶ λέξεως ἁπλῆς πεφροντικότες. ὅθεν ταύτας παλαιὰς τῆς τακτικῆς πολλάκις Ἑλληνικὰς μὲν ἐσαφηνίσαμεν λέξεις, Ῥωμαϊκὰς δὲ διερμηνεύσαμεν, καί τισιν ἑτέραις στρατιωτικῇ συνηθείᾳ λελεγμέναις [p. 9. M.] ἐχρησάμεθα λέξεσιν ἕνεκεν τῆς σαφοῦς καταλήψεως τῶν ἐντυγχανόντων, μόνον τῶν οὐκ ἀναγκαίων διατάξεων ἐξῃρημένων, — διά τε τὸ περιττὸν καὶ τὴν ἀχρηστίαν καὶ τὴν τῶν συγγραμμάτων ἀσάφειαν, ἵν᾽ ἔχοιεν εὐσύνοπτον οἱ βουλόμενοι στρατηγεῖν πολλὴν τῶν κατὰ πολέμους καὶ ἐκστρατείας ἀναγκαίων τὴν πεῖραν, οὐ λόγῳ μόνον τὸ χρήσιμον ἔχουσαν, ἀλλὰ δὴ καὶ αὐτοῖς ἔργοις

92. *φρ. μ. ἀκρ. ἢ κ. ῥ.*] *κάλλους μὲν λόγου* **P_1E** || **93.** *φροντίδα ποιησάμενοι* (*-αμένοι* **P_1E**) **AP_1E** || **94. 95.** Pro *σαφηνείας . . . ταύτας* **AP_1E** habent: *συντόμου* (*συντόμον* **E**) *καὶ εὐκόλου διηγήσεως φροντίσαντες. διὰ τοῦτο* (*διατοῦτο* **E**) *καὶ τὰς* || **95—96.** *παλαιὰς* (*παλαιᾶς* **P_1**) *λέξεις τῆς τακτικῆς ἑλληνικὰς* (*ἑλλ.* **E**) *μὲν ἐσαφηνίσαμεν* **AP_1E** || **96.** *διερμηνεύσαμεν* **MW**; cf. *Psaltes* p. 201; *διηρμηνεύσαμεν* fecit diorthosis posterior in **AP_1E** || **97—99.** Pro *καί τισιν . . . . . ἐντυγχ.* in **AP_1E**: *καὶ ἑτέραις λέξεσιν ἐχρησάμεθα ἐν στρατιωτικῇ συνηθείᾳ λεγομέναις πρὸς τὸ εὔκολον εἶναι τὴν διήγησιν τοῖς ἐντυγχάνουσιν* || **99.** Inde a *μόνον* omnia usque ad finem §-i 5. omm. **AP_1E** || **100.** Inde a *διά τε* usque ad *μόνον* **(104)** verba lectu difficilia praebet **W** || **103.** *πεῖραν* **M.**

χρήσιμόν τι ἐν τοῖς συγγραφεῖσιν ἀποδειχθῇ, χάρις τῷ παντοδυνάμῳ θεῷ, τῷ καὶ ἡμῖν λόγον ἐν τούτοις χαρισαμένῳ· εἰ δὲ καὶ ὁ στρατηγὸς δι' αὐτῆς τῆς πείρας καὶ ἐπιμελείας τὰ μείζονα τούτων εὕρῃ, χάρις καὶ οὕτως τῷ θεῷ, ὡς δοτῆρι τῶν ἀγαθῶν, τῇ δὲ ἡμετέρᾳ προθυμίᾳ συγγνώμη.

PROOEMIUM.

παρὰ τῶν παλαιῶν ἐγγυμνασθεῖσαν καὶ ἄχρις ἡμῶν, εἰ καὶ μὴ ἔργοις αὐτοῖς, οἷς τὰ Ῥωμαίων ἐπὶ μέγα ἤρθη δυνάμεως, παραπεμφθεῖσαν, ἀλλ' οὖν τοῖς λόγοις, δι' ὧν ἀναλαμβάνεται καὶ ἀναμιμνήσκεται τὰ λήθῃ παραπεμφθέντα, — καὶ εἰς τὴν ἀρχαίαν πάλιν ἀποκαθίστασθαι τάξιν.

6. Ἀλλ' ἐφ' ὅσῳ μὲν ἐν τοῖς ῥηθησομένοις τὸ || c. 677.
εὔχρηστον ἀναδειχθῇ, χάρις τῷ πάντων ἀγαθῶν δοτῆρι Χριστῷ, τῷ βασιλεῖ τοῦ παντὸς καὶ θεῷ ἡμῶν, τῷ καὶ τοῖς ἡμετέροις λόγοις δωρησαμένῳ τὴν χάριν. εἰ δέ τις καὶ ἕτερος δι' αὐτῆς τῆς ἐπιμελείας καὶ πείρας κρείττονα τούτων ἐφεύρῃ, χάρις καὶ οὕτως τῷ παναγάθῳ θεῷ, συγγνώμη δὲ ἡμῖν τῆς προθυμίας ἕνεκεν.

7. Πάντως δὲ χρή, εἴτε ἐπὶ πλέον, εἴτε ἐπ' ἔλαττον, τοὺς βουλομένους στρατηγεῖν ταῖς τακτικαῖς τε καὶ στρατηγικαῖς ἐνδιατρίβειν μελέταις. οὐδὲ γάρ, ὥς τινες

108. *ἀναμιμνήσκεται*] cf. *Crönert* p. 50. || **112.** *ἀναδειχθῇ*] aoristi coniunctivus pro indicativo futuri; *ἀλλ' εἰ μὲν χρήσιμα τὰ παρ' ἡμῶν ῥηθησόμενα φανῶσι* (*φάνωσι* **A**) **A** $\mathbf{P_1}$ **E** || **114.** Inde ab *εἰ δέ τις* usque ad *στρατηγεῖν* (119) litterae magnopere evanuerunt in **W** || **115.** *καὶ πείρας* omm. $\mathbf{P_1}$ **E** || **116.** *ἔφευρον* $\mathbf{P_1}$ **E** || *οὕτω* $\mathbf{P_1}$ **E** || **118.** *δὲ* omm. $\mathbf{P_1}$ **E** || *ἐπιπλέον* **M** $\mathbf{P_1}$ **E** || *ἐπέλαττον* **M**, *ἐπ' ἔλαττον* $\mathbf{P_1}$ **E** || **120. 121.** *ὡς τῶν ἀπείρων ὑπολαμβάνουσι τινὲς* **A**, *ὡς ὑπολαμ-*

Urbicii VII. 1.: *Οὐκ ἔστιν ὁλκάδα *πελάγη διαπορθμεύεσθαι κυβερνήτου χωρίς, οὐκ ἔστιν πολεμίους καταγωνίζεσθαι τάξεως καὶ στρατηγίας ἐκτός, δι' ἧς οὐ μόνον τοῦ ἰσορροποῦντος πλήθους τῶν πολεμίων περιγενέσθαι δυνατόν ἐστι σὺν θεῷ, ἀλλὰ καὶ τοῦ πολλῷ πλέον ἐν ἀριθμῷ ὑπερβάλλοντος. οὐδὲ γάρ, ὥς τινες τῶν ἀπείρων ἔχουσι, διὰ θράσους καὶ πλήθους ἀνδρῶν οἱ πόλεμοι κρίνονται, ἀλλὰ δι' εὐμενείας θεοῦ τάξεώς τε καὶ στρατηγίας, ἧς ἐπιμελητέον μᾶλλον ἢ συλλογῆς πλήθους ἀκαίρου· ἡ μὲν γὰρ ἀσφάλειαν καὶ ὠφέλειαν ἄγει τοῖς ταύτῃ καλῶς κεχρημένοις, ἡ δὲ συντριβὴν καὶ ἐπιζήμιον δαπάνην.*

PROOEMIUM.

τῶν ἀπείρων ἔχουσι, διὰ πλήθους ἀνδρῶν καὶ θράσους οἱ πόλεμοι κρίνονται, ἀλλὰ δι' εὐμενείας θεοῦ καὶ στρατηγίας καὶ τάξεως, ἧς μᾶλλον ἐπιμελητέον ἢ συλλογῆς πλήθους ἀκαίρου· ἡ μὲν γὰρ καὶ ἀσφάλειαν καὶ ὠφέλειαν ἄγει τοῖς καλῶς αὐτῇ κεχρημένοις, ἡ δὲ καὶ συντριβὴν καὶ ἐπιζήμιον δαπάνην.

p. 10. M.] 8. *Ὥσπερ γὰρ οὐκ ἔστιν ὁλκάδα πελάγη διαπορθμεύεσθαι κυβερνητικῆς ἐπιστήμης χωρίς, οὕτως οὐδὲ πολεμίους καταγωνίζεσθαι τάξεως καὶ στρατηγίας ἐκτός, δι' ἧς οὐ μόνον τοῦ ἰσορροποῦντος πλήθους τῶν πολεμίων περιγενέσθαι σὺν θεῷ δυνατόν ἐστιν, ἀλλὰ καὶ τοῦ*

βάνουσι τινὲς τῶν ἀπείρων **P₁E** || **122.** *πόλεμοι*] cf. XX, 55 [Mgn.] („*ἐν πολέμῳ*“ || *διὰ* (*δια* **P₁**) *φιλανθρωπίας* **AP₁E** || **123.** *ἐπιμελεῖσθαι χρὴ* **AP₁E** || **125.** *ἄγει*] *ἔχει* **A** || **127.** *ὁλκάδα*] *πλοῖον* **AP₁E** || **127—128.** *διαπερᾶν* **A**, *διαπερὰν* **P₁E** || *χωρὶς κυβ. ἐπιστ.* **AP₁E** || **130.** Inde a *δι'* usque ad **134.** *ὑπαγορεύοντες* haec possunt tantum legi in **W**: *μόνον τοῦ ἰσορρ //////θους τῶν πολ///////σὺν θεῷ δ//// πολλῷ ////// βάλλον ////// τινὰ ////// στρ//////* || *ἰσορρ.*] *ἴσου* **AP₁E**; *ἰσορροποιοῦντος* exhibet, ni fallor, **M.**

πολλῷ πλέον τῷ ἀριθμῷ ⟨ὑπερ⟩βάλλοντος. ὥσπερ οὖν ἄλλον τινὰ πρόχειρον, ὡς εἴρηται, στρατηγικὸν τὴν παροῦσαν πραγματείαν ὑπαγορεύοντες νόμον προσεχῶς τε καὶ ἐπιπόνως ἀκούειν ἡμῶν παρακελευόμεθα.

9. Χρεὸν τοίνυν πρότερον μὲν ὑπογράψαι τὴν ἐν πολέμοις τακτικήν, καὶ τί ἐστι στρατηγός, εἶτα τίνα καὶ ὁποῖον τὸν στρατηγὸν εἶναι δεῖ καὶ ὅπως δέον βουλεύεσθαι; ἑξῆς δὲ τὴν εἰς ἄρχοντας καὶ ἀρχομένους τοῦ στρατοῦ διαθεῖναι διαίρεσιν, τήν τε ἄλλην ἀποσκευὴν καὶ τῶν ὅπλων κατασκευὴν καὶ τὴν ἑκάστου τῶν μαχομένων ὅπλισιν. πρὸς τούτοις τὴν πρὸ τῶν ἀληθινῶν ἀγώνων τοῦ στρατοῦ γυμνασίαν, ἔπειτα δὲ καὶ τὰ κείμενα ὑπαναγνωσθῆναι ἐπιτίμια. εἶτα περὶ ὁδοιπορίας εἰπεῖν τῆς τε ἐν τῇ ἰδίᾳ καὶ τῆς ἐν τῇ πολεμίᾳ περί τε τοῦ λεγομένου τούλδου καὶ δὴ καὶ περὶ ἀπλίκτων τῆς τε προκατασκευῆς καὶ παραγγελίας. καὶ τί δεῖ γενέσθαι πρὸ τῆς τοῦ πολέμου ἡμέρας καὶ ὅσα ἐν τῇ τοῦ πολέμου ἡμέρᾳ ὑποφείλεται; καὶ ἔτι περὶ πολιορκίας, εἶτα καὶ τὰ μετὰ τὸν πόλεμον ὀφειλόμενα καὶ τὰς δι'

132. Pro *πλέον τῷ ἀριθμῷ βάλλοντος* (sic **M** et fortasse **W**) **AP_1E** *πλείονος* habent; *ὑπερβάλλοντος* **Lamius** || **134.** Verbum *νόμον* in **AP_1E** verbum *πρόχειρον* sequitur || **136.** *χρεία* **AP_1E**, *χρεὸν* **Migne** || **137.** *εἶτα τίνα* **E**, *εἶτά τινα* **MWAP_1** || **138.** *τὸν* omm. **P_1E** || **139.** *ἐξ ἧς* **P_1E** || **141.** *τῶν* alterum om. **E** || **142.** *τὴν πρὸς τὸν* **P_1E** || **143.** *στρατηγοῦ* **codd.**; similis error IV 33, 50; VIII 15; IX 51; Rec. Const. VII 10; XI 19, etc. || **144.** *ὑπαναγνω*θῆναι* **E** || **145.** *πολεμίᾳ γῇ* **E** || **146.** *καὶ δὴ* omm. **AP_1E** || *ἀπληκτων* **E**, *ἀπλήκτων* **A**, *ἀπλήκτ$\overset{ω}{ο}$ν* **P_1** || **147–148.** Verbo *γενέσθαι* finitur in **W** folium tertium. Inter folia 3. et 4. numerata excidit unum, cuius marginis tantum interioris habes aliqua verba, dico, in recto: *προ τη|ὅσα ε|ἐποφε|ορκίας|πόλ|δι' ε|τῶν|ων|π|τε|* in verso: *|ρατηγοῦ|πολεμικῶν|πολεμικαὶ|δὲ κατα|κη|καὶ κι|αγα|ετη|ων* || **149.** *ἐποφείλεται* **P_1E**; extitit etiam in **W** || **150.** *τὰ* omm. **P_1E**.

Aeliani Tact. Theor. II. 1.: *Λεκτέον δέ μοι πρῶτον περὶ τῶν εἰς τοὺς πολέμους τελειῶν παρασκευῶν. διτταὶ δ' εἰσὶ τούτων*

CONSTITUTIO I.

ἐνέδρων ἀδοκήτους ἐφόδους τῶν τε ἡμετέρων καὶ τῶν [p. 11. M.] πολεμίων. | καὶ ἐπὶ τούτοις διαφόρων παρατάξεων μελέτας ἐθνικῶν τε καὶ Ῥωμαϊκῶν, εἶτα πρὸς τοῖς εἰρημένοις καὶ περὶ ναυμαχίας διατάξαι μετρίως. καὶ ἐπὶ τούτοις ἅπασι γνώμας τινὰς τακτικάς τε καὶ στρατηγικὰς ἰδίως ἐν ἐκθέσει συναγαγεῖν, ὅσας δηλονότι κατὰ χώραν ἐντάξαι τὸ εὐσύνοπτον καὶ πρόχειρον τῶν διατάξεων οὐ συγχωρεῖ, c. 680. ἀφ' || ὧν ὁρμώμενον σοφὸν ὄντα καὶ ὀξὺν τῇ διανοίᾳ τὸν στρατηγὸν σοφώτερον γενέσθαι ἐλπίζομεν.

Καὶ πρῶτον μὲν ἀρκτέον ἐντεῦθεν.

ΠΟΛΕΜΙΚΩΝ ΠΑΡΑΣΚΕΥΩΝ

[p. 12. M.] διάταξις α'.

Περὶ τακτικῆς καὶ στρατηγοῦ.

I. (§§ ed.-is Mgn-ii) 1. Τακτική ἐστιν ἐπιστήμη πολεμικῶν κινήσεων· κινήσεις δὲ πολεμικαὶ διτταί, αἱ μὲν κατὰ γῆν, αἱ δὲ κατὰ θάλασσαν.

150—151. *δι' ἐγκρυμμάτων* **A P₁ E** || **151.** *ἀπροσδοκήτους* **A**, *ἀπροσδοκήτως* **P₁ E** || **152—153.** *μελέταις* **A** || **153.** *πρὸς*] *ἐπὶ* **A P₁ E** || **154.** *καὶ περὶ* om. **M** || Pro *διατάξαι μετρίως*] *εἰπεῖν* **A P₁ E** || **155.** *ἅπασι* omm. **A P₁ E** || **155—157.** Pro *ἰδίως . . . . . συγχωρεῖ* **A P₁ E** *ἐκθεῖναι* habent || **161—164.** In **M** litteris rubris exaratus extat constitutionis primae titulus: *πολεμικῶν παρασκευῶν διάταξις α' | περὶ τακτικῆς καὶ στρατηγοῦ*, in **A**: *πολεμικῶν παρασκευῶν διάταξις πρωτ' | επ' τακτικῆς καὶ στρατηγοῦ*, in **P₁**: *διάταξις ᾱ: περὶ τακτικῆς καὶ στρατηγοῦ*, in **E** *διάταξις πρώτη:*

δυνάμεις, ἡ μὲν πεζική, ἡ δὲ ναυτική· καὶ πεζικὴ μὲν ἡ τῶν ἐπὶ γῆς μαχομένων, ναυτικὴ δὲ ἡ τῶν κατὰ θάλασσαν ἢ ποταμοὺς ἐν

CONSTITUTIO I.

2. *Τακτική ἐστι τέχνη στρατηγικὴ παρατάξεων καὶ* 2.
ὁπλισμῶν καὶ κινήσεων στρατιωτικῶν.

3. *Στρατηγικὴ δέ ἐστι στρατηγῶν ἀγαθῶν συνάσκησις* 3.
ἤγουν μελέτη καὶ γυμνασία μετὰ στρατηγημάτων ἤτοι τροπαίων σὺν ἀθροισμῷ.

4. *Σκοπὸς τῇ τακτικῇ διὰ τῶν ἐνδεχομένων ἐπιβολῶν* 4.
καὶ πράξεων κινῆσαι τοὺς πολεμίους.

5. *Χρήσιμον δέ ἐστι τῇ τακτικῇ τὸ δι' εὐτάκτου* 5.
θέσεως συμπλέκεσθαι τοῖς πολεμίοις.

6. *Τέλος τῇ τακτικῇ κατὰ τὸ ἐνδεχόμενον ἀνεπι-* 6.
λήπτως διατάξαι τὸ στράτευμα.

7. *Αἱ δὲ εἰς τοὺς πολέμους τέλειαι παρετοιμασίαι* 7.
δύο εἰσίν· ἡ μὲν κατὰ γῆν πεζική, ἡ δὲ κατὰ θάλασσαν [p. 13. M.]

περὶ τακτικῆς καὶ στρατηγοῦ || **166.** *διτταὶ* **Migne,** *δίτται* **M,** *δύο* **A P_1 E** || **168.** Estne ante *τέχνη* inserendum *καί?* || **169.** *νικήσεων* **P_1 E** || **172.** His verbis puto excepisse folium, cuius verborum fragmenta supra reddidi; cum hodie codicis **W** quartum folium numeratum verbis *διὰ τὴν ἀλόγιστον* **(281.)** incipiat, quattuor folia totim hic excidisse verisimile est. || *συναθροισμοῦ* codicum in dubitationem vocatur a **Koechlyo** et **Rüstowio** (loco infra citato), *σὺν ἀθροισμῷ* **ego** || **173.** *ἐπιβουλῶν* **P_1 E** || *κινῆσαι*] „ut .... vincat" **Checus**; *νικῆσαι* voluerunt **Koechly-Rüstow** Gr. Kriegsschrift. II. b. p. 241.; cf. *Anon. Byz.* (a *Jachnsio* [Gesch. d. Kriegswissenschaften I. München und Leipzig 1889] p. 148. praedicati) Strat. XIV, 1.: *τακτική ἐστιν ἐπιστήμη, καθ' ἥν τις πλῆθος ἀνθρώπων μεθ' ὅπλων συντάξαι καὶ κινῆσαι κατὰ καιρὸν δύναται.* Cf. praeterea *Balck* Taktik I[4] (Berlin 1908) p. 6 et ss., ubi citatur *Delbrück* ab auctore cum laude honoratus dicens: „Strategie ist die Lehre von der Verwendung der Kriegsmittel zur Erreichung des Kriegszweckes, Taktik ist die

ναυσὶ παρατασσομένων. καὶ περὶ μὲν τῶν ἐν ταῖς ναυμαχίαις συντάξεων ὕστερον ἐροῦμεν. τῶν ἐπὶ τοὺς πολέμους τοίνυν ἀθροιζομένων τὸ πλῆθος τὸ μέν ἐστι μάχιμον, τὸ δὲ κατὰ τὰς τούτου χρείας συνερχόμενον ἄμαχον· καὶ μάχιμον μὲν τὸ παρατασσόμενον ἐν τοῖς ἀγῶσι καὶ δι' ὅπλων ἀμυνόμενον τοὺς πολεμίους, ἄμαχον δὲ τὸ λοιπόν, οἷον ἰατρῶν, ἀγοραίων, δούλων καὶ ἄλλων, ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσιν. τοῦ δὲ μαχίμου τὸ μέν ἐστι πεζικόν, τὸ δὲ ἐπ' ὀχημάτων· τὸ μὲν ἰδίως πεζὸν τὸ ἐπὶ γῆς βεβηκός, τοῦ δὲ ἐπὶ τῶν ὀχημάτων τὸ μὲν ἐφ' ἵππων φέρεται, τὸ δὲ ἐπ' ἐλεφάντων.

CONSTITUTIO I.

ναυτική. περὶ μὲν οὖν τῆς ναυτικῆς ὕστερον ἐροῦμεν. τῶν δὲ κατὰ γῆν ἐπὶ πολέμους ἀθροιζομένων ἀνδρῶν τὸ πλῆθος τὸ μέν ἐστι μάχιμον ἤγουν πολεμικόν, τὸ δὲ διὰ τὰς τούτου χρείας συνερχόμενον ἄμαχον. καὶ πολεμικὸν μὲν τὸ παρατασσόμενον πρὸς τοὺς πολεμίους στρατιωτικόν, ἄμαχον δὲ τὸ λοιπόν, οἷον ἰατρῶν, δούλων, ἐμπόρων καὶ ἄλλων, ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσιν. τοῦ δὲ μαχίμου μέρους ἤγουν πολεμικοῦ στρατοῦ τὸ μέν ἐστι πεζικόν, τὸ δὲ καβαλλαρικόν. καὶ τὸ μὲν ἰδίως πεζικὸν τὸ ἐπὶ γῆς ἱστάμενον, τὸ δὲ καβαλλαρικὸν τὸ ἐπὶ τῶν ἵππων ὀχούμενον. ἦν δέ ποτε καὶ ἐπὶ ἁρμάτων ἁπλῶν καὶ ἁρμάτων δρεπανηφόρων

Kunst der Truppenführung *zum* und im *Gefecht*", — et *Anonymus* quidam *Vindobonensis* (1916), p. 2: „*Taktik* nennt man die Lehre über die Verwendung der Truppen und die Kunst der Truppenführung im Rahmen der kriegerischen Tätigkeit." Cf. ceterum *Leonis* Tact. Epil. 58. (Mgn.) || **177–178.** *ἀμέμπτως* **A P$_1$ E** || **179.** *πολεμίους* **codd.** || **180.** An fuerit scribendum: *καβαλλαρική καὶ πεζική?* || **183.** *τὸ πλῆθος* [*τὸ*] *μὲν* **A** || **186.** *οἷοι* **P$_1$ E** || *ἰατροί, δοῦλοι* (*δούλοι* **E**), *ἔμποροι* (*ἔμπειροι* **P$_1$ E**) *καὶ ἄλλοι* **A P$_1$ E** || *ἐμπείρων* **M** || **187—188.** *ἐπακολουθοῦσι* **A P$_1$ E** || **189.** *καβαλλάριον* **M** || **192.** *καὶ ἐπὶ ἁρμάτων δρεπανηφόρων* **P$_1$ E.**

καὶ ἐπὶ ἐλεφάντων πύργους φερόντων πλήρεις ἀνδρῶν, ἀλλὰ τούτων οὐδεὶς ἡμῖν λόγος νῦν διά τε τὴν ἀχρηστίαν καὶ τὴν παντελῆ ἀργίαν τῶν τοιούτων παρασκευῶν.

8. Τῆς οὖν τακτικῆς μετρίως πως οὕτω ὑπογραφείσης 8.
δεῖ καὶ τὸν στρατηγὸν ἀναδειχθῆναι τί τέ ἐστι καὶ τίς ὁ τῆς τοιαύτης ἐγχειρήσεως ἄξιος;

9. Στρατηγὸς τοίνυν ἐστὶν ὁ τῆς ὑπ᾽ αὐτὸν ἁπάσης 9.
ἐπαρχίας μείζονα πάντων ἐξουσίαν ἔχων μετὰ τὸν βασιλέα.

10. Στρατηγός ἐστιν ὁ τοῦ ὑπὸ χεῖρα στρα- 10.
τιωτικοῦ θέματος κορυφαῖος ἄρχων, ἐκ βασιλέως μὲν προχειριζόμενος, τοὺς δὲ ὑπ᾽ αὐτὸν ἄρχοντας τοὺς μὲν ψήφῳ τῇ αὐτοῦ, ἐκ βασιλέως δὲ καταπεμπόμενος, τοὺς δὲ ἐξουσίᾳ ἰδίᾳ προβαλλόμενος.

11. | Ἴδιον δὲ στρατηγοῦ τὸ κρείττονα εἶναι πάντων 11. [p. 14. M.]
τῶν ὑπὸ χεῖρα φρονήσει καὶ ἀνδρίᾳ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ, —

12. τὸ εἰς αὐτὸν ἀναφέρεσθαι τῆς κατ᾽ αὐτὸν ἐπαρ- 12.
χίας τὰς διοικήσεις, ὅσαι τε στρατιωτικαὶ καὶ ὅσαι ἰδιωτικαὶ καὶ δημόσιοι, —

13. | τὸ παραλαβόντα στρατὸν ἄτακτον ἐκτάξαι 13. c. 681.
δεόντως κατὰ τὴν ἁρμόζουσαν τῷ καιρῷ τακτικὴν διάταξιν.

14. Σκοπὸς τῷ στρατηγῷ τὸ μὲν ὑπ᾽ αὐτὸν θέμα 14.
αὐξῆσαι καὶ ἀβλαβὲς ἀπό τε πολεμίων καὶ τῶν ἄλλων

196. *τῆς τακτικῆς οὖν* **A P_1 E** || *πως* om. **A** || *οὕτως* **P_1 E**; veri dissimile mihi videtur auctorem *μετρίως πως οὕτως* scripsisse || **199.** *ὁ* om. **M** || **200.** *ὑπαρχίας* **M** || **202.** *ὁ* om. **M** || **205.** *αὐτοῦ*] *ἑαυτοῦ* **M** || *ἐκ βασιλέως* [*δὲ*] **P_1 E** || *καταπεμπομένους* **A P_1 E** || **207.** *τῷ κρείττω* **P_1 E** || *πάντων εἶναι* **P_1 E**.

Onasandri Strat. Cap. I. [*Περὶ αἱρέσεως στρατηγοῦ*] 1. *Φημὶ*

ἀδικημάτων καὶ δὴ καὶ ἀταξιῶν καὶ στάσεων διαφυλάξαι, τοὺς δὲ πολεμίους παντὶ τρόπῳ — ἢ πολέμῳ ἢ ἐφόδοις — ἀδοκήτοις ταπεινῶσαι, καὶ ἅπερ ποιήσει κατὰ τῶν ἐχθρῶν, ταῦτα φυλάξασθαι μὴ παθεῖν ἀπ᾽ αὐτῶν.

15. 15. *Τέλος τῷ στρατηγῷ τῷ εὐδοκιμήσαντι διὰ πάντων τῆς τε θείας καὶ βασιλικῆς ἀπολαύειν εὐνοίας ἢ κατολιγωρήσαντι τῶν πρεπόντων καὶ ἁρμοζόντων πραγμάτων τεύξεσθαι τοῦ ἐναντίου. οὕτω τοίνυν καὶ τῆς τοῦ στρατηγοῦ προτυπωθείσης εἰκόνος δεῖ καθάπερ διὰ χρωμάτων ἡμᾶς ἀναζωγραφῆσαι τὴν τούτου ποιότητα καὶ δεῖξαι φανερῶς, τίς καὶ ποταπὸς εἶναι ὀφείλει καὶ ὁποῖος εἶναι ὁ τῆς τοιαύτης ἐξουσίας προχειριζόμενος ἄρχων;*

ΠΟΛΕΜΙΚΩΝ ΠΑΡΑΣΚΕΥΩΝ

[p. 15. M.] *διάταξις β'.*

Περὶ τοῦ οἷον εἶναι δεῖ τὸν στρατηγόν.

1. 1. *Κελεύομεν τοίνυν εἶναι τὸν στρατηγὸν σώφρονα περὶ τὸ σῶμα, περὶ τὴν δίαιταν ἐγκρατῆ, νηφάλιον καὶ*

218. *καὶ δὴ* omm. **AP_1E** || **221.** *ὑπ᾽* **A** || **222.** *τῶ εὐδοκιμήσαντι* **P_1E**, *τὸ εὐδοκιμῆσαι τὰ* **M**, *τῶ εὐδοκιμήσαντα* **A** || **223—224.** *κατολιγωρήσαντι* ego, *-σαντα* **AP_1E**, *κατολιγορήσαντα* **M** || **225.** *τεύξεσθαι* ego, *τεύξασθαι* **M** || *τεύξεσθαι τοῦ ἐναντίου*] *τὰ ἐναντία παθεῖν* **AP_1E** || *οὕτως* **AP_1E** || **226—227.** *διὰ* (*δια* **E**) *χρωμάτων*, quod **Meursius** olim coniecerat, **P_1E**, *διὰ χρημάτων* **MA** || **228—229.** *καὶ ὁποῖος εἶναι* omm. **AP_1E** || **229.** *ὁ εἰς τὴν τοιαύτην ἐξουσίαν προχειριζόμενος* [*ἄρχων*] **AP_1E** || **230—233.** Constitutio inscribitur in

τοίνυν αἱρεῖσθαι τὸν στρατηγὸν . . . σώφρονα, ἐγκρατῆ, νήπτην, λιτόν, διάπονον, νοερόν, ἀφιλάργυρον, μήτε νέον μήτε πρεσβύτερον, ἂν τύχῃ καὶ πατέρα παίδων, ἱκανὸν λέγειν, ἔνδοξον. 2. σώφρονα μέν, ἵνα μὴ ταῖς φυσικαῖς ἀνθελκόμενος ἡδοναῖς ἀπολείπῃ τὴν ὑπὲρ τῶν

CONSTITUTIO II.

ἐγρήγορον, λιτὸν καὶ ἀπέριττον περὶ τὰς χρείας, φερέπονον περὶ τοὺς ἐπικόπους καμάτους, νοήμονα καὶ φρόνιμον, μισοῦντα φιλαργυρίαν, ἔνδοξον περὶ τὴν φήμην, μήτε νέον μήτε γέροντα, ἱκανὸν δὲ καὶ πρὸς τὸ λέγειν ἀπὸ στόματος ἐν μέσῳ λαοῦ, ἂν τύχῃ δέ, καὶ πατέρα παίδων, μὴ ἐμπορείας φιλοῦντα ἤ τι τοιοῦτον, μὴ δὲ μικρόψυχον, ὡς καὶ τῶν σμικρῶν πραγμάτων ἐπιθυμεῖν, καὶ ἁπλῶς εὐγενῆ τῇ ψυχῇ, εἰ δυνατόν, καὶ τῷ σώματι, καὶ ἐν ἅπασι μεγαλόψυχον.

2. Σώφρονα μέν, ἵνα μὴ ταῖς τῆς φύσεως κατασυρό- 2.
μενος ἡδοναῖς ἀπολείπῃ τὴν περὶ τῶν ἀναγκαίων φροντίδα καὶ ἐπιμέλειαν.

M: *πολεμικῶν παρασκευῶν διάταξις β′|περὶ τοῦ* etc., in **A:** *B. πολεμικῶν παρασκευῶν διάταξις δευτέρα|π^ε τοῦ* etc., in **P_1E:** *πολεμικῶν παρασκευῶν διάταξις B̄|περὶ τοῦ* etc. || **235.** *νηφάλεον* **P_1E**, *νηφαλέον* **A** || **236.** *καὶ ἀπέριττον* omm. **AP_1E** || **236—237.** *φερέπονον*] *ὑπομένοντα* **AP_1E** || **237.** Pro *περὶ τοὺς ἐπικόπους* (ad quod verbum cf. IX 19) *καμάτους* (quod habet **M**), **AP_1E** *τοὺς πόνους* exhibent || **238.** *περὶ τὴν φήμην* omittunt **AP_1E** || **240.** Estne ordo invertendus? Cff. §§. 12. et 11. || **241.** *ἐμπορείας*] *ἐμπορίαν* **Migne**, *ἐμπορείαν* **Lami**, *ἐμπορείας* **M**, *πραγματείας* **AP_1E**: recepi formam *ἐμπορείας*: cf. *Leonis* Librum praefecti (ed. *Nicole* 1893) c. XVI, §. 1, et Tact. IX 26. || *φιλοῦντα*] *ἀγαπῶντα* **AP_1E** || **242.** *μικρῶν* **AP_1E** || **243.** *τὴν ψυχὴν* et *τὸ σῶμα* **AP_1E** || **246.** *ἀπολείπῃ* **P_1E**, *ἀπολίπῃ* **MA** || *περὶ* omittunt **P_1E**.

μεγίστων φροντίδα. 3. *ἐγκρατῆ δέ, ἐπειδὴ τηλικαύτης ἀρχῆς μέλλει τυγχάνειν· αἱ γὰρ ἀκρατεῖς ὁρμαὶ προσλαβοῦσαι τὴν τοῦ δύνασθαί τι ποιεῖν ἐξουσίαν ἀκατάσχετοι γίγνονται πρὸς τὰς ἐπιθυμίας.* 4. *νήπτην δέ, ὅπως ἐπαγρυπνῇ ταῖς μεγίσταις πράξεσιν· ἐν νυκτὶ γὰρ ὡς τὰ πολλὰ ψυχῆς ἠρεμούσης στρατηγοῦ γνώμη τελειοῦται.* 5. *λιτὸν δέ, ἐπειδὴ κατασκελετεύουσιν αἱ πολυτελεῖς θεραπεῖαι δαπανῶσαι χρόνον ἄπρακτον εἰς τὴν τῶν ἡγουμένων τρυφήν.* 6. *διάπονον δέ, ἵνα μὴ πρῶτος τῶν στρατευομένων, ἀλλ' ὕστατος*

CONSTITUTIO II.

---

3. 3. *Ἐγκρατῆ δέ, ἐπειδὴ τηλικαύτης ἀρχῆς μέλλει τυγχάνειν. αἱ γὰρ ἀκρατεῖς καὶ ἀκόλαστοι ὁρμαί, ὅτ' ἂν προσλάβωσι δύναμιν κατ' ἐξουσίαν τοῦ ποιεῖν, ἃ βούλονται, ἀκράτητοι γίνονται πρὸς τὰς ἐπιθυμίας.*

4. 4. *Νηφάλιον δὲ καὶ ἐγρήγορον, ὅπως ἐπαγρυπνῇ ἐν ταῖς μεγίσταις πράξεσιν. ἐν νυκτὶ γάρ, ὅτ' ἂν ἡ ψυχὴ* [p. 16. M.] *ἠρεμῇ μάλιστα, πολλάκις ἡ τοῦ στρατηγοῦ γνώμη καὶ ἀπευθύνεται καὶ τελειοῦται.*

5. 5. *Λιτὸν δὲ καὶ ἀπέριττον περὶ τὰς χρείας· καὶ γὰρ καταδαπανῶσιν αἱ πολυτελεῖς καὶ πολλαὶ θεραπεῖαι καὶ χρόνον ἄπρακτον καὶ ἀναγκαίας ἐξόδους εἰς τὴν τῶν ἀρχόντων τρυφήν.*

6. 6. *Φερέπονον δέ, ἵνα μὴ πρῶτος τῶν στρατευομένων τὰς ἀναπαύσεις ἐπιζητῇ, ἀλλὰ γίνηται αὐτοῖς μᾶλλον εἰκὼν πρὸς τὸ γενναίως ὑποφέρειν τοὺς πόνους.*

---

250. *δύναμις* **P$_1$E** || *κατεξουσίαν* **M**, corr. **Meursius**, *κατὰ ἐξουσίαν* **Lami** || *τοῦ ποιεῖν κατεξουσίαν* **AP$_1$E** || **252.** Cf. XX 5. 111 (Mgn.) || *νηφάλαιον* **P$_1$E**, *νηφαλέον* **A** || **253—255.** Cf. XX. 7 (Mgn.) || **256.** *καὶ ἀπέριττον* omm. **AP$_1$E** || **257.** *αἱ πολυτελεῖς καὶ πολλυτελεῖς και θεραπεῖαι* **A** || **260.** *Φερέπονον*] *ὑπομένοντα τοὺς πόνους* omisso *δὲ* **P$_1$E** || **261.** *γίνηται* **P$_1$E**, *γίνεται* **M**, *γένηται* **A** || **262.** *εἰκὼν*] cf. XX 135. (Mgn.)

κάμνῃ. 7. νοερὸν δέ· ὀξὺν γὰρ εἶναι δεῖ τὸν στρατηγὸν ἐπὶ πᾶν ᾄττοντα δι' ὠκύτητος ψυχῆς . . . πολλάκις γὰρ ἀπρόληπτοι ταραχαὶ προσπεσοῦσαι σχεδιάζειν ἀναγκάζουσι τὸ συμφέρον. 8. ἀφιλάργυρον δέ· ἡ γὰρ ἀφιλαργυρία δοκιμασθήσεται καὶ πρώτη· τοῦ γὰρ ἀδωροδοκήτως καὶ μεγαλοφρόνως προΐστασθαι τῶν πραγμάτων αὕτη παραιτία· πολλοὶ γάρ, κἂν διὰ τὴν ἀνδρίαν ἀσπίσι πολλαῖς καὶ δόρασιν ἀντιβλέψωσιν, περὶ τὸν χρυσὸν ἀμαυροῦνται· δεινὸν γὰρ πολεμίοις ὅπλον τοῦτο καὶ δραστήριον εἰς τὸ νικᾶν. 9. οὔτε δὲ νέον, οὔτε

CONSTITUTIO II.

7. || Νοήμονα δὲ καὶ φρόνιμον· ὀξὺν γὰρ εἶναι δεῖ 7. c. 684.
τὸν στρατηγόν, πανταχοῦ περιστρέφοντα τὸν σκοπὸν διὰ ταχυτῆτος ψυχῆς. πολλάκις γὰρ ἀνυπονόητοι ταραχαὶ προσπεσοῦσαι παρευθὺ τὸ συμφέρον ἐπινοεῖν ἀναγκάζουσιν.

8. Ἀφιλάργυρον δέ· καὶ γὰρ ἡ ἀφιλαργυρία τοῦ 8.
στρατηγοῦ δοκιμάζεται, ὅτ' ἂν ἀδωροδοκήτως καὶ μεγαλοφρόνως προΐσταται τῶν πραγμάτων καὶ δι' ἀρετὴν μόνην δωρεὰν προβάλληται τὰς ἀρχὰς τοῦ ὑπ' αὐτὸν θέματος. πολλοὶ γάρ, κἂν ἀνδρεῖοί εἰσι τῇ ψυχῇ καὶ ῥωμαλέοι τῷ σώματι κατὰ τῶν ἐχθρῶν, ἀλλ', ὅτ' ἂν ἀντιβλέψωσι πρὸς χρυσόν, ἀμαυροῦνται καὶ σκοτίζονται· δεινὸν γὰρ ὅπλον κατὰ στρατηγοῦ ⟨ἡ⟩ φιλαργυρία καὶ δραστήριον εἰς τὸ νικῆσαι τοῦτον καὶ καταβαλεῖν.

263. δὲ om. **E** || **264.** περιτρέφοντα **A**, περιφέροντα **P_1E** || **265.** Conlato Onasandro διὰ ταχυτῆτος scripsi; διὰ ταχυτῆτα (ταχύτητα **A**, ταχῦτῆτα **E**) habent codd. || ἀνυπονόηται **M** || **268.** τοῦ om. **M** || **270.** προΐσταται] cf. VII, 76 et ἵνα . . . διδόασιν XI, 49 || **271.** προβάλληται codd., προβάλλεται Migne || **272.** κἂν **MA**, καὶ **P_1E** || **275.** ἡ inserui propter Onasandri τοῦτο || δραστήριον] ἐνεργέστατον **AP_1E**.

πρεσβύτερον, ἐπειδὴ ὁ μὲν ἄπιστος, ὁ δ' ἀσθενής, οὐδέτερος δ' ἀσφαλής· ὁ μὲν νέος, ἵνα μή τι διὰ τὴν ἀλόγιστον πταίσῃ τόλμαν, ὁ δὲ πρεσβύτερος, ἵνα μή τι διὰ τὴν φυσικὴν ἀσθένειαν ἐλλείπῃ. 10. κρατίστη δ' αἵρεσις ἡ τοῦ μέσου· καὶ γὰρ τὸ δυνατὸν ἐν τῷ μηδέπως γεγηρακότι καὶ τὸ φρόνιμον ἐν τῷ μὴ πάνυ νεάζοντι, ὡς, οἵτινές γε ἢ σώματος ῥώμην ἄνευ ψυχῆς ἔμφρονος ἐδοκίμασαν ἢ ψυχὴν ἄνευ σωματικῆς ἕξεως, οὐδὲν ἐπέραναν· ἡ γὰρ ὑστερήσασα

CONSTITUTIO II.

9\. 9. Οὔτε δὲ νέον εἶναι, οὔτε γέροντα· ἐπειδὴ ὁ μὲν νέος ἄπιστον ἔχει καὶ εὐκλόνητον τὸ φρόνημα διὰ τὴν
[p. 17. M.] νεότητα, ὁ δὲ | γέρων ἀσθενής ἐστι τῷ σώματι, καὶ οὐδέτερος αὐτῶν ἀσφαλής, ὁ μέν, ἵνα μή τι πταίσῃ διὰ τὴν ἀλόγιστον τόλμαν ὥσπερ θρασύς, ὁ δὲ γέρων, ἵνα μὴ διὰ τὴν φυσικὴν ἀσθένειαν ἐλλείπῃ εἰς τὰ δέοντα τῶν πραγμάτων. κρατίστη δὲ ἐκλογὴ τοῦ μέσου, μήτε νέου
10\. ὄντος, μήτε γέροντος· καὶ γὰρ τὸ δυνατὸν καὶ ῥωμαλέον ἐν τῷ μήπω γεγηρακότι, τὸ δὲ φρόνιμον καὶ σταθηρὸν ἐν τῷ μὴ πάνυ νεάζοντι. καὶ μέντοι, οἵτινες γὰρ ἢ ἰσχὺν σώματος ἄνευ φρονήσεως θαυμάζουσι ψυχικῆς ἢ πάλιν ψυχὴν φρόνιμον ἄνευ σωματικῆς δυνάμεως, οὐδὲν ἐνόησαν πέρας ἀγαθόν. καὶ γὰρ ἡ ὑστερήσασα δυνάμεως

---

278. *ἔχειν* **E** || *ἄστατον* **AP₁E** || **279—280.** *οὐδέτερος* **Vári,** *οὐδεὶς* codd. || **280.** *ὁ μὲν* codd. || *τι* om. **P₁** || **282.** *ἐλλίπῃ* **MWA** || **283.** *καλλίστη* **AP₁E**; cf. *Urbic.* VIII, 2, 38 (=*Leo* XX, 93, Mgn.) et „*Ined. Tactica Leonis*“ I, 13 et 17 || **284.** *ἰσχυρὸν* **AP₁E** || **285.** *σταθερὸν* **A,** sed *σταθε* in ras. || **286.** *καὶ μέντοι* omm. **AP₁E** || *οἵτινες γὰρ* (pro *γὰρ* malim *γε* propter **284** et **289** *καὶ γὰρ*) *ἢ ἰσχὺν* **AP₁E,** *οἵτινες ἰσχὺν* **MW** || **289.** *τέλος* **AP₁E** || **289—291.** *καὶ γὰρ ἡ φρόνησις ὑστερήσασα δυνάμεως οὐδὲν ὠφέλησεν, ἢ* (legendum cum **Koechlyo** *ἡ*) *δύναμις στερηθεῖσα φρονήσεως οὐδὲν ἐτελείωσεν* (*ἐτελείωσε* **P₁E**) **AP₁E** ||

⟨δυνάμεως⟩ φρόνησις οὐδὲν ἐνόησε κρεῖττον, † ἢ[1] ἐλλείπουσα δύναμις οὐδὲν ἐτελείωσεν. 11. ὅ γε μὴν εὐδοκιμῶν οὐ μικρὰ τοὺς ἑλομένους ὤνησεν· ὅντινα γὰρ ἄνθρωποι φιλοῦσιν αὐτομάτῃ διανοίας ἐμπτώσει, τούτῳ ταχὺ μὲν ἐπιτάττοντι πείθονται, λέγοντι δ' οὐκ ἀπιστοῦσι, κινδυνεύοντι δὲ συναγωνίζονται. 12. πατέρα δὲ προὔκρινα μᾶλλον, οὐδὲ τὸν ἄπαιδα παραιτούμενος, ἐὰν ἀγαθὸς ᾖ· ἐάν τε γὰρ ὄντες τύχωσι νήπιοι, ψυχῆς εἰσιν ἰσχυρὰ φίλτρα περὶ τὴν εὔνοιαν ἔξο-

[1] Sic et cod. Mediceus.

CONSTITUTIO II.

φρόνησις οὐδὲν διενοήθη κρεῖττον, † ἢ ἐλλείπουσα φρονήσεως δύναμις οὐδὲν ἐτελείωσεν.

10. *Καὶ φιλούμενον δὲ παρὰ τῶν ὑπηκόων τὸν* 11.
στρατηγὸν εὐδοκιμώτερον ἴσμεν γίνεσθαι, καὶ γὰρ μεγάλα τοὺς ἀρχομένους ὠφελήσειεν. ὅντινα γὰρ ἄνθρωποι φιλοῦσι, τούτῳ ἐπιτάττοντι μὲν ταχὺ πείθονται, λέγοντι δὲ καὶ συντιθεμένῳ οὐκ ἀπιστοῦσι, κινδυνεύοντι δὲ συναγωνίζονται. τοιοῦτον γὰρ ἡ ἀγάπη· τὸ τιθέναι τὴν ψυχὴν ὑπὲρ τοῦ φιλουμένου.

11. *Πατέρα δὲ παίδων προκρίνομεν μᾶλλον ἢ ἄπαιδα,* 12.
οὐδὲ τὸν ἄνευ παίδων παραιτούμενοι, ἐὰν ἀγαθός ἐστι. καὶ γὰρ ὁ παῖδας ἔχων στρατηγός, εἰ μὲν νηπίους, θερμότερος γίνεται περὶ τὴν σπουδὴν τῶν ἐν βίῳ πρα- [p. 18. M.]

ἢ—ἢ **MW** || **292.** Cf. *Cecaumeni Strat.* 14, 1: Ἐρρέθη δὲ τοῖς ἀρχαιοτέροις, ὅτι τὸν στρατηγὸν χρὴ εἶναι φοβερόν, ἕτεροι δὲ καὶ ἀγαπᾶσθαι ὑπὸ τοῦ λαοῦ αὐτοῦ εἶπον. Cff. etiam „*Ined. Tact. L.*" XVII et Tact. XX, 5 (ed. Mgn.) || *καὶ* om. **Migne** || *ἀγαπώμενον* **A P₁ E** || **293.** *οἴδαμεν* **A P₁ E** || Verba *καὶ γὰρ μεγάλα τοὺς ἀρχ. ὠφελ.* omm. **A P₁ E** || **294.** *ὠφελήσει* **Migne** || *ὅν τινα* **W**, *ὅν[τινα]* **A P₁ E** || **296.** *συντιθ.*] *ὑποσχνουμένῳ* **A P₁ E** || **297–298.** *Ev. Joann.* 15, 13 || **299.** *ἢ ἄπαιδα* omittunt **A P₁ E** || **300.** *τῶν* **W** || *ἄνευ παίδων*] *μὴ ἔχοντα παῖδας* **A P₁ E** || *ἐστι ἀγαθός* **A**, *ἔστι ἀγαθὸς* **P₁**, *ἐστι ἀγαθός* **E** || **302.** *ἐν τῷ βίῳ* **E**.

μηρευσασθαι δυνάμενα στρατηγὸν πρὸς πατρίδα, δεινοὶ καὶ ὀξεῖς μύωπες πατρὸς οἷοί τε ἀναστῆσαι θυμὸν ἐπὶ πολεμίους, ἂν τε τέλειοι, σύμβουλοι καὶ συστράτηγοι καὶ πιστοὶ τῶν ἀπορρήτων ὑπηρέται γιγνόμενοι συγκατορθοῦσι τὰ κοινὰ πράγματα. 13. λέγειν δ᾽ ἱκανόν· ἔνθεν γὰρ ἡγοῦμαι τὸ μέγιστον ὠφελείας † ἕξεσθαι[1] διὰ στρατεύματος· ἐάν τε γὰρ ἐκτάττῃ πρὸς μάχην στρατηγός, ἡ τοῦ λόγου παρακέλευσις τῶν μὲν δεινῶν ἐποίησε καταφρονεῖν, τῶν δὲ

[1] Malim ἕξεσθαι sensu passivo (cf. *Demosth.* LI, 11); tunc διὰ στρατεύματος = in exercitu, sicut διὰ χειρῶν = in manibus. Similis error in „*Ined. Tact. L.*" XLIII, 16 (ed. *Koechly* p. 15).

CONSTITUTIO II.

γμάτων ὑπὲρ τῆς τῶν παίδων φιλίας καὶ εὐπραγίας ἀγωνιζόμενος, εἰ δὲ τέλειοί εἰσι τὴν ἡλικίαν, σύμβουλοι καὶ συστράτηγοι καὶ πιστοὶ ὑπηρέται γινόμενοι συγκατορθοῦσι τῷ πατρὶ τὰ μεταχειριζόμενα ὑπὲρ κοινῆς σωτηρίας πράγματα, δι᾽ ὧν μᾶλλον δοκεῖ τοῦ ἄπαιδος ὁ παῖδας ἔχων προτιμότερος εἶναι.

13. 12. *Λέγειν* δὲ καὶ δημηγορεῖν ἱκανόν· ἡγοῦμαι γὰρ
τὰ μέγιστα ὠφελεῖν διὰ τούτου τὸ στράτευμα, ἐάν τε γὰρ παρατάσσηται πρὸς μάχην στρατηγός, διὰ τῆς τοῦ λόγου παρακελεύσεως. τῶν μὲν γὰρ δεινῶν πολλάκις καὶ
c. 685. αὐτοῦ τοῦ θανάτου ποιεῖ καταφρονεῖν, | τῶν δὲ καλῶν
καὶ ἡδέων ἐπιθυμεῖν. οὐχ οὕτως γὰρ ἐνηχοῦσα σάλπιγξ

305. συστρατηγοὶ **M A P_1** || γενόμενοι **M W A** || **307.** δι᾽ ὧν] cf. *Plat.* Tim. 37 c διὰ τοιούτων αἰτιῶν, — δι᾽ ὃ **Migne** || ἄπαιδος] παῖδας μὴ ἔχοντος **A P_1 E** || **308.** προτιμώτερος **M P_1 E** et a. c **W** || **309.** Cf. XX 110 (Mgn.) || **311.** παρατάσσεται **M,** διατάσσηται **Meursii codex** || Fol. 4. in **W** verbo στρατη | abrupte finitur, folium sequens abrupte verbis | ται ἀρετάς (vs. **341**) incipit; excidit unum folium || **312.** γὰρ om. **A** || δεινὸν **A** || **313.** τοῦ om. **M** || **314.** ἠθέων **M,** quod correxi, γλυκέων **A P_1 E** || Ante verbum ἐπιθυμεῖν librarius codicis **A** ποιεῖ inseruit, posthac delevit.

καλῶν ἐπιθυμεῖν. καὶ οὐχ οὕτως ἀκοαῖς ἐνηχοῦσα σάλπιγξ ἐγείρει ψυχὰς εἰς ἅμιλλαν μάχης, ὡς λόγος εἰς προτροπὴν ἀρετῆς ἐναγώνιον ῥηθεὶς αἰχμάζουσαν ἀνέστησε πρὸς τὰ δεινὰ τὴν διάνοιαν· ἄν τέ τι συμβῇ πταῖσμα περὶ τὸ στρατόπεδον, ἡ τοῦ λόγου παρηγορία τὰς ψυχὰς ἀνέρρωσε. καὶ πολὺ δὴ χρησιμώτερός ἐστι στρατηγοῦ λόγος οὐκ ἀδύνατος, ὥστε παραμυθεῖσθαι τὰς ἐν στρατοπέδοις συμφοράς, τῶν * ἐπιμελουμένων τοὺς τραυματίας ⟨γιγνομένους⟩ ἰατρῶν. 14. οἱ μὲν γὰρ ἐκείνους μόνους τοῖς φαρμάκοις θεραπεύουσιν, ὁ δὲ καὶ τοὺς κάμνοντας εὐθυμοτέρους ἐποίησε καὶ τοὺς ἐρρωμένους ἀνέστησεν.

CONSTITUTIO II.

ἀκοαῖς ἐξεγείρει ψυχὰς εἰς κίνησιν μάχης, ὡς λόγος μετὰ φρονήσεως λεγόμενος προτρέπεται εἰς ἀρετὴν καὶ ἐναγωνίους ποιεῖ τοὺς ἀκούοντας καὶ ἐξανιστᾷ πρὸς τὰ δεινὰ τὴν διάνοιαν. ἐὰν δέ τι συμβῇ πταῖσμα περὶ τὸ 14. στρατόπεδον, ἡ τοῦ λόγου παρηγορία τὰς ψυχὰς ἀναρρωννύει. καὶ πολὺ δὴ χρησιμώτερός ἐστι στρατηγοῦ λόγος δυνατός, ὥστε παραμυθήσασθαι στρατοπέδου συμφοράς, μᾶλλον τῶν ἐπιμελουμένων τὰ τραύματα ἰατρῶν. οἱ μὲν γὰρ ἐκείνους μόνους τοὺς τραυματίας ⟨γινομένους⟩ θεραπεύουσι ταῖς ἰατρείαις καὶ διὰ χρόνου τάχα πλείονος, ὁ δὲ παρευθὺ καὶ τοὺς πονοῦντας καὶ τοὺς κάμνοντας ποιεῖ εὐθυμοτέρους, καὶ τοὺς ἐρρωμένους ἀνιστᾷ πρὸς ἀνδρίαν καὶ εὐψυχίαν.

---

315. *ταῖς ἀκοαῖς ἐγείρει* (*τὰς* add. **A**) *ψυχὰς* **AP$_1$E** || *εἰς κίνησιν μάχης*] *εἰς μάχην* **AP$_1$E** || **318.** *ἔννοιαν* **Meursius** habet || *τι* om. **E** || **320.** *δὴ* omm. **AP$_1$E** || **321.** *συμφορᾶς* **P$_1$** || **322.** *τραύματα* (*τραύ* in ras.) **A**, *πράγματα* **P$_1$E** || **323.** *τραυματίας* **M**, *τραυματισθέντας* **AP$_1$E**; *γινομένους* coll. IV. 17. inserui || **326.** *ἐρρουμένους* **M**, quod correxi, *ἰσχυροὺς* **AE**, *ἰσχυροῦς* **P$_1$**.

Onas. Strat. Cap. I. 17.: *τὸν δ' ἔνδοξον, ὅτι τοῖς ἀδόξοις ἀσχάλλει τὸ πλῆθος ὑποταττόμενον· οὐθεὶς γὰρ ἑκὼν ὑπομένει τὸν αὑτοῦ χείρονα κύριον ἀναδέχεσθαι καὶ ἡγεμόνα.* 18. *πᾶσα δ' ἀνάγκη τὸν τοιοῦτον ὄντα καὶ τοσαύτας ἀρετὰς ἔχοντα τῆς ψυχῆς, ὅσας εἴρηκα, καὶ ἔνδοξον εἶναι.* 19. *φημὶ δὲ μήτε τὸν πλούσιον, ἐὰν ἐκτὸς ᾖ τούτων, αἱρεῖσθαι στρατηγὸν διὰ τὰ χρήματα, μήτε τὸν πένητα, ἐὰν ἀγαθὸς ᾖ, παραιτεῖσθαι διὰ τὴν ἔνδειαν· οὐ μὴν χρή γε τὸν*

CONSTITUTIO II.

[p.19.M.] *15.* 13. *Ἔνδοξον δέ φαμεν· ἐπειδὴ ἀηδίζεται καὶ ἀσχάλλει*
τοῖς ἀδόξοις τὸ πλῆθος ὑποταττόμενον. οὐδεὶς γὰρ ἐθέ-
λων ὑπομένει τὸν χείρονα κύριον ἑαυτοῦ ἀναδέχεσθαι
16. *καὶ ἡγεμόνα. δοκεῖ δέ μοι, ὅτι πᾶσα ἀνάγκη τὸν τοιοῦ-*
τον εὑρισκόμενον στρατηγόν, ὥστε ἔχειν ἀρετὰς τοσαύτας,
ὅσας εἴρηκα, στρατηγοῦ, καὶ ἔνδοξον εἶναι. ἡ γὰρ τοσαύτη
ἀρετὴ ἄσημον ἄνθρωπον διαμένειν ἐπιπολὺ οὐ καταλιμ-
πάνει.
17. 14. *Φαμὲν δὲ καὶ μήτε πλούσιον, ἐὰν μὴ ἔχῃ τὰς*
τοῦ στρατηγοῦ ἀρετάς, προχειρίζεσθαι στρατηγὸν διὰ
τὰ χρήματα, μήτε τὸν πένητα, ἐὰν ἀγαθός ἐστι, παραι-
τεῖσθαι διὰ τὴν πενίαν καὶ ἔνδειαν. οὐ μὴν δὲ τὸν

328. *λέγομεν* **AP_1E** || **328—329.** *ἐπειδὴ ἀγανακτεῖ τὸ πλῆθος τοῖς ἀδόξοις ὑποτασσόμενον* **AP_1E** || **329.** *ἐν τοῖς ἀδόξοις* **M**; an scribendum *ἐπὶ τ. ἀ.?* || **329—330.** *θέλων* **AP_1E** || **330.** *αὐτοῦ* **AP_1E** || **333.** *εἰρήκαμεν* **AP_1E** || *στρατηγοῦ* omm. **AP_1E**; conicio *στρατηγόν, ὅστις ἔχει ἀρετὰς τοσαύτας, ὅσας εἴρηκα, στρατηγοῦ, καὶ ἔνδοξον εἶναι* || **334.** *ἄσημον*] *ἀφανῆ καὶ ἄγνωστον* [addito *τὸν* **A**] **AP_1E** || **334—335.** *καταλαμβάνει* **MP_1E** || **336—341.** *ἀρετάς*] **AP_1E**: *λέγομεν δὲ μήτε πλούσιον προχειρίζεσθαι στρατηγὸν διὰ τὰ χρήματα, ἐὰν μὴ ἔχῃ ταύτας τὰς ἀρετάς, μήτε πένητα παραιτεῖσθαι (παραιτῆσθαι* **A**) *διὰ τὴν πενίαν, ἐὰν ἔστιν (ἐστὶν* **A**) *ἀγαθός. οὐκ (οὐ* **E**) *ἀποβαλλόμεθα δὲ οὔτε τὸν πλούσιον ἕνεκεν τοῦ (τὸν* **E**) *πλούτου αὐτοῦ, ἀλλ' ἐὰν τὰς τῷ στρατηγῷ πρεπούσας μὴ κέκτηται ἀρετάς* || **337—338.** *διὰ χρήματα* **M.**

πένητα οὐδὲ τὸν πλούσιον, ἀλλὰ καὶ τὸν πλούσιον καὶ τὸν πένητα· οὐδέτερον γὰρ οὔϑ' αἱρετέον οὔτ' ἀποδοκιμαστέον διὰ τὴν τύχην, ἀλλ' ἐλεγκτέον διὰ τὸν τρόπον. 20. οὐδὲ πλούσιος ἀγαϑὸς ὢν τοσούτῳ διοίσει τοῦ γενναίου πένητος, ὅσον αἱ ἐπάργυροι καὶ κατάχρυσοι πανοπλίαι τῶν καταχάλκων καὶ σιδηρῶν· αἱ μὲν γὰρ τῷ κόσμῳ πλεονεκτοῦσιν, αἱ δ' αὐτῷ τῷ δραστηρίῳ διαγωνίζονται. ⟨πένητα δέ φημι γενναῖον⟩, εἴ γε μὴ χρηματιστὴς εἴη· τὸν δὲ χρηματιστὴν

CONSTITUTIO II.

πλούσιον ἀποδοκιμάζομεν, ὅτι πλούσιος, ἀλλ' ἐὰν τὰς τῷ στρατηγῷ πρεπούσας μὴ κέκτηται ἀρετάς· οὐδὲ τὸν πένητα αἱρούμεϑα, ὅτι πένης, ἀλλ' ὅτι στρατηγικήν τε καὶ γενναίαν ἔχει ψυχήν. οὐδέτερον γὰρ διὰ τὴν τύχην ἀποδοκιμάζομεν, ἀλλὰ μᾶλλον διὰ τὸν τρόπον ἀμφοτέρους προβαλούμεϑα.

15. Οὐδὲ πλούσιος ἀγαϑὸς ὢν τοσούτῳ διαφέρει τοῦ 18.
γενναίου πένητος, ὅσον αἱ ἐπάργυροι καὶ κατάχρυσοι πανοπλίαι τῶν καταχάλκων καὶ σιδηρῶν· αἱ μὲν γὰρ τῷ λαμπρῷ κόσμῳ πλεονεκτοῦσιν, αἱ δὲ ἐν αὐτῷ τῷ δραστηρίῳ διαγωνίζονται.

25. 25. Ἐὰν στρατιώτης τὰ ὅπλα αὐτοῦ ῥίψῃ ἐν πολέμῳ, κελεύομεν αὐτὸν τιμωρεῖσθαι, ὡς γυμνώσαντα ἑαυτὸν καὶ τοὺς ἐχθροὺς ὁπλίσαντα.

26. 26. Ἐάν τις τῶν ἀρχόντων παρεμποδίσῃ στρατιώτην

2407. τρόπον **P₁** || ἀπείη **Meursii codex**, ἀπίη **M**, μὴ (μη **P₁**) γένοιτο **AP₁V** || **2408.** μὴ δὲ **MW** || διφένσορας **M** || **2409.** μὴ δὲ **MAP₁** || **2416.** παροπλίσῃ **M.**

c. 1236 **Lami.** 24. ἂν φοσσάτου ὄντος γένηται τροπὴ μέρους τινὸς ἢ παρα||ταγῆς, καὶ οἱ τραπέντες οὔτε πρὸς τοὺς ἀκολουθοῦντας ὀπίσω βοηθοὺς προσδράμωσιν, οὔτε εἰς αὐτὸ τὸ στράτευμα καταφύγωσιν, ἀλλὰ περιφρονοῦντες εἰς ἕτερον τόπον προσδράμωσιν, κελεύομεν τύπτεσθαι τοὺς τοιούτους, ὡς περιφρονήσαντας τῶν ἰδίων φίλων.

25. ἂν ῥίψῃ στρατιώτης τὰ οἰκεῖα ἅρματα εἰς τὸν πόλεμον, κελεύομεν τύπτεσθαι αὐτόν, ὡς γυμνώσαντα ἑαυτὸν καὶ τοὺς ἐχθροὺς ἐξοπλίσαντα.

26. ἂν παρεμποδίσῃ τις στρατιώτας ἢ ἐξκουσεύσῃ πρὸς τὸ μὴ ἐλθεῖν αὐτὸν εἰς τὸν

481. [ ] ν̄ C, ἐὰν p; item 485. et 487. || παρ. μιᾶς C || 485. ἅρματα C || 487. τὶς C || στρατιώτης C.

ἢ ἐξκουσεύσῃ ἢ μὴ συνελθεῖν ἐν τῷ καιρῷ τοῦ φοσσάτου, ἢ συνελθόντα εἰς οἰκείαν κατάσχῃ δουλείαν, ὥστε τὴν τάξιν αὐτοῦ καταφρονῆσαι καὶ ἀμελῆσαι τῶν ὅπλων, παρεκτὸς τῶν τεταγμένων ἀπὸ τοῦ ἡμετέρου σκρινίου, σωφρονιζέσθω | καὶ ζημιούσθω, στρατηγὸς μὲν χρυσίου [p. 94. M.] λίτραν μίαν, τουρμάρχης δὲ νομίσματα λϛʹ, δρουγγάριος δὲ νομίσματα κδʹ, κόμης δὲ (καὶ εἴτις ἕτερος) νομίσματα ιβʹ.

27. Τοσαῦτα καὶ περὶ τῶν στρατιωτικῶν ἐπιτιμίων 27. διορισάμενοι ἑξῆς σοι ὅπως καὶ ὁδοιπορεῖν δέον τόν τε καθόλου στρατὸν καὶ κατὰ μέρος ἔν τε τῇ ἡμετέρᾳ χώρᾳ καὶ ἐν τῇ τῶν πολεμίων καὶ μετὰ ποίας καταστάσεως, ἤδη διαταξόμεθα.

2417. *ἐξκουσεύει* **M**, *ἐκσκουσεύσῃ* **A**, *ἐκσκουσσεύσῃ* (quod voluit **Meursius**) **P_1V**; in *ἐξκουτεύῃ* **Migne**, in *ἐκσκουτεύσῃ* correxit *Zachariae a Lingenthal*, || *εἰσελθειν* (συν supra) **M** || **2418. 2419.** *τῆς τάξεως* **A P_1 V** || **2420.** Pro *τεταγμένων . . . . . σκρινίου* **A P_1 V** habent *ἀποτεταγμένων καὶ ἀφωρισμένων αὐτοῖς* || **2422.** *λι α* **M** || *νν* **M P_1** || **2423.** *δὲ* omm. **P_1 V** || *νν* **M** || **2423—2424.** Verba *νομίσματα κδʹ . . . . ιβʹ* interierunt in **P_1** || *νν* **M** || **2425.** *ἐπιτιμία* **P_1** || **2426.** *δωρισάμενοι* **P_1 V** || *καὶ ὅπως* **P_1 V** || Post *ὅπως* duarum litterarum spatium extat in **P_1**, deinde iterantur omnia inde a **2425.** *τοσαῦτα καὶ περι τῶν στρατιωτικῶν* etc. || **2429.** *διαταξώμεθα* **M.**

καιρὸν τοῦ φοσσάτου ἢ καί, ἀφ' ἧς ἂν ἔλθῃ, ἐρωτήσῃ αὐτὸν εἰς ἰδίαν δουλείαν, ὥστε μὴ εὑρεθῆναι αὐτὸν εἰς τὴν τάξιν αὐτοῦ παρεκτὸς τῶν ἀφωρισμένων αὐτοῦ στρατιωτῶν, τυπτέσθω καὶ ζημιούσθω, στρατηγὸς μὲν χρυσίου λίτραν μίαν, τουρμάρχης δὲ νομίσματα τριάκοντα ἕξ, δρουγγάριος δὲ νομίσματα εἴκοσι τέσσαρα, κόμης δὲ καὶ οἱ λοιποὶ νομίσματα δώδεκα.

27. *ταῦτα καὶ περὶ τῶν τοιούτων ἐπιτιμίων διορισάμενοι διαταξόμεθ' ἀπάρτι καὶ ὅπως ἁρμόζει ὁδοιπορεῖν καὶ τὸν στρατὸν ὅλον καὶ μέρος ἐξ αὐτοῦ καὶ εἰς τὴν ἡμετέραν χώραν καὶ εἰς τὴν πολεμίαν καὶ μετὰ ποίας καταστάσεως.*

488. *ἀνερωτήσῃ* **C p** || **490.** *λίβραν* **p** || **491.** *τριακονταέξ* **C** || **492.** *δέκα* **C p** || **494.** (hic et **C**) et **495.** *ὁδοποιεῖν* **p.**

Onas. Strat. Cap. VI, 10.: *διοδεύων δὲ συμμαχίδα γῆν παραγγελλέτω τοῖς στρατεύμασιν ἀπέχεσθαι τῆς χώρας καὶ μήτ᾽ ἄγειν τι, μήτε φθείρειν· ἀφειδὲς γὰρ πλῆθος ἅπαν ἐν ὅπλοις, ὅτ᾽ ἂν ἔχῃ τὴν τοῦ δύνασθαί τι ποιεῖν ἐξουσίαν· καὶ ἡ ἐγγὺς ὄψις ἀγαθῶν δελεάζει τοὺς ἀλογίστους ἐπὶ πλεονεξίαν· μικραὶ*

CONSTITUTIO IX.

ΠΟΛΕΜΙΚΩΝ ΠΑΡΑΣΚΕΥΩΝ

διάταξις θ′.

Περὶ ὁδοιπορίας.

1. 1. *Δέον σε τοίνυν, ὦ στρατηγέ, ὅτ᾽ ἂν ὁδοιπορῇς μετὰ τοῦ στρατοῦ, εἰ μὲν ἐν τῇ ἰδίᾳ ἡμῶν γῇ τὴν πορείαν ποιεῖς, ἵνα παραγγέλλῃς τοῖς στρατιώταις ἀπέχεσθαι τῆς χώρας καὶ μήτε πραιδεύειν, μήτε φθείρειν. πλῆθος γὰρ στρατεύματος, ὅτ᾽ ἂν λάβῃ τοῦ δύνασθαι τὴν ἐξουσίαν, ἀφειδῶς ἐπιπίπτει πρὸς ἅπαντα· δελεάζεται γὰρ εἰς πλεονεξίαν, ὅτ᾽ ἂν ὁρᾷ κατ᾽ ὄψιν προ-*

2430. *Πολεμικῶν Παρασκευῶν* omm. **P_1V** || **2433.** *σοι* **Meursii codex** || *οἰδοπορῇς* **V** || **2435.** *παραγγείλῃς* **AP_1V** || **2435. 2436.** *ἀπέσχεσθαι* **P_1V** || **2438.** *ἐπίπτει* **P_1**.

p. 25. **Meurs.** ||*Περὶ τοῦ ὅπως ἁρμόζει ὁδοιπορεῖν τὸν στρατηγὸν ἔν τε τῇ ἡμετέρᾳ χώρᾳ ἔν τε τῇ πολεμίᾳ καὶ τὸν στρατὸν ἅπαντα καὶ μέρος ἐξ αὐτοῦ.*

1. *Ὅταν περιπατῇς, στρατηγέ, μετὰ τοῦ στρατοῦ, εἰ μὲν ἐν τῇ ἡμετέρᾳ γῇ περιπατεῖς, παράγγελλε τοῖς στρατιώταις, ἵνα μήτε πραιδεύωσι, μήτε βάλλωσι τὴν χεῖρα. τὸ πλῆθος γὰρ τοῦ στρατοῦ, ἂν λάβῃ ἐξουσίαν, ἵνα ποιῇ, ὃ δύναται, ἀνηλεῶς ἐμβαίνει εἰς πάντα*

496—498. Inscriptionem om. C || 499. [ ]*ιαν* C || 500. *βάλωσι* C.

δὲ προφάσεις ἢ ἀπηλλοτρίωσαν συμμάχους ἢ καὶ παντελῶς ἐξεπολέμωσαν.

Onas. Strat. Cap. VI, 13.: *τῶν δὲ δυνάμεων ἐκπεπληρωμένων μήτ᾽ ἐπὶ τῆς ἰδιοκτήτου, μήτ᾽ ἐπὶ τῆς ὑπηκόου, μήτ᾽ ἐπὶ τῆς συμμαχίδος καθεζόμενος ἐγχρονιζέτω χώρας· τοὺς γὰρ ἰδίους ἀναλώσει καρποὺς καὶ ζημιώσει πλέον τοὺς φίλους ἢ τοὺς πολεμίους· μεταγέτω δ᾽ ὡς θᾶττον, ἐὰν ἀκίνδυνα ᾖ τὰ οἴκοι, τὰς δυνάμεις· ἐκ γὰρ τῆς πολεμίας, εἰ μὲν εἴη δαψιλὴς καὶ εὐδαίμων, τροφὴν ἕξει καὶ ⟨εὐπορίαν⟩ ἄφθονον, εἰ δὲ μή, τήν γε φιλίαν οὐ λυμανεῖται, πολλὰ δ᾽ ὅμως καὶ ἀπὸ λυπρᾶς τῆς ἀλλοτρίας ἕξει πλεονεκτήματα.*

CONSTITUTIO IX.

κειμένην τὴν χρείαν, καὶ πολλάκις τοὺς ἰδίους διὰ τὴν τοιαύτην αἰτίαν πολεμίους ποιεῖ.

2. *Μηδὲ χρόνιζε καθεζόμενος μετὰ τοῦ στρατεύματος ἐν τῇ ἰδίᾳ χώρᾳ, ὅτ᾽ ἂν ἤδη ὁρίσῃς εἰσβαλεῖν ἐν τῇ χώρᾳ τῶν πολεμίων. καὶ γὰρ καὶ τοὺς ἰδίους ἀναλώσεις καρπούς, καὶ ζημιώσεις μᾶλλον τοὺς φίλους ἢ τοὺς πολεμίους. ταχέως δὲ μετάφερε τὰς δυνάμεις, μάλιστα, ἐὰν εἰς λιπαρὰν καὶ πολύτροφον τῶν πολεμίων γῆν μέλλῃς εἰσβαλεῖν.* 2.

2442. *μὴ δὲ* **M** || *καθεξόμενος* **M** || **2443.** *ὁρίσεις* $\mathbf{P_1 V}$ || *εἰσβάλλειν* **Meursii codex** || **2444.** *ἐν* om. **A** || *καὶ* alterum omm. $\mathbf{P_1 V}$ || **2448.** *μέλλεις* **M**, *μέλλεις* (ης supra) **V** || *εἰσβάλλειν* $\mathbf{A P_1 V}$.

καὶ δελεάζεται εἰς | πλεονεξίαν, ὅταν βλέπῃ ἔμπροσθεν αὐτοῦ κειμένην τὴν χρείαν, καὶ fol. 10r
ἐκ τούτου ποιεῖ πολεμίους πολλάκις τοὺς ἡμετέρους.

2. *ὅταν δὲ μέλλῃς εἰσελθεῖν εἰς τὴν χώραν τῶν πολεμίων, μὴ χρονίζῃς καθεζόμενος μετὰ τοῦ στρατοῦ εἰς τὴν ἡμετέραν χώραν (καὶ γὰρ καταδαπανᾷς τοὺς ἰδίους καρποὺς καὶ ζημιοῖς μᾶλλον τοὺς ἡμετέρους παρὰ τοὺς πολεμίους), ἀλλὰ ταχέως εἰσέρχου εἰς τὴν πολεμίαν, καὶ ἐξαιρέτως, εἰ μέλλεις εἰσελθεῖν εἰς λιπαρὰν γῆν τῶν πολεμίων καὶ πολλὰς ἔχουσαν τροφάς.*

504. *χρονίσῃς* p || 507. Verba *πολλὰς* usque ad 509. *πολεμίων* non exhibet p.

Urbicii I. 9. *Πῶς δεῖ εὐτάκτως τὸν στρατὸν ὁδοιπορεῖν ἐν τῇ ἰδίᾳ χώρᾳ πολεμίων μὴ ἐνοχλούντων;*

1. Χρὴ ἐν ἑνὶ τόπῳ στρατὸν πολὺν μὴ συναγαγεῖν πολεμίων μὴ ἐνοχλούντων, ἵνα μὴ εὐκαιροῦντες οἱ στρατιῶται εἰς στάσεις καὶ ἀκαίρους ἐννοίας ἀσχολοῦνται.

2. Χρὴ πολέμου προσδοκωμένου μετὰ τάξεως τὸν στρατὸν

CONSTITUTIO IX.

[p.98.M.] 3. | 3. Εἰς ἕνα δὲ τόπον στρατὸν πολὺν μὴ σύναγε πολεμίων μὴ ἐνοχλούντων, ἵνα μὴ εὐκαιροῦντες οἱ στρατιῶται εἰς στάσεις καὶ ἀκαίρους ἐννοίας ἀσχολοῦνται.

4. 4. Εἰ δέ ποτε χρεία καλέσει τοῦτο γενέσθαι χάριν ἀδνουμίου ἢ ἄλλης ἀναγκαίας αἰτίας, ἢ ταχέως τὸν στρατὸν διαμέριζε ἢ γύμναζε καὶ εἰς ἔργα τῶν ὅπλων ἀσχολεῖσθαι παρασκεύαζε, ὡς ἐν τῷ περὶ γυμνασίας ἡμῖν εἴρηται κεφαλαίῳ. ἡ γὰρ ἀργία κενωτέρας μελέτας ἴσως καὶ ἐπιβλαβεῖς ἀπογεννᾷ.

c. 769. 5. 5. | Ἐὰν δὲ πόλεμον προσδοκᾷς, μετὰ τάξεως τὸν

2449. μὴ om. **M** || **2456.** VII, 8. || **2457.** νεωτέρας **A P_1 V** || **2458.** γεννᾷ **A P_1 V.**

3. ὅτε δὲ οὐκ ἔχεις φόβον τῶν πολεμίων, μὴ συνάγῃς στρατὸν πολὺν εἰς ἕνα τόπον, ἵνα μὴ εὐκαιροῦντες οἱ στρατιῶται μελετῶσι στάσεις καὶ ταραχάς.

4. ἂν δὲ γένηται χρεία, ἵνα συναχθῇ στρατὸς πολὺς εἰς ἕνα τόπον, οἷον δι᾽ ἀδνούμιον ἢ δι᾽ ἄλλην ἀναγκαίαν αἰτίαν, ὀφείλεις ἢ συντόμως σκορπίζειν αὐτούς, ἤ, ἂν ὦσιν εἰς ἕνα τόπον, τέως ἂν γυμνάζειν αὐτοὺς καὶ ποιεῖν τούτους ἐπιμελεῖσθαι καὶ ἑτοιμάζειν εἰς τὰ ἄρματα αὐτῶν, καθὼς εἰς τὸ περὶ γυμνασίας εἴπομεν, καὶ μὴ ἀφήσῃς αὐτοὺς ἀργεῖν. ἡ γὰρ ἀργία ἐναντίας μελέτας εἰς αὐτοὺς ποιεῖ.

5. ἂν δὲ προσδοκᾷς πόλεμον, ποίησον τὸν στρατόν, ἵνα περιπατῇ μετὰ συντάξεως

512. αἰτίαν ἀναγκαίαν p || ἂν] κἂν C || 513. γύμναζε C p || ἢ καὶ p || ποίει C p || 514. ἅρματα C.

περιπατεῖν, εἴτε κατὰ μοίρας τὰς ὁδοιπορίας ποιεῖται, εἴτε κατὰ μέρη· τὸ γὰρ ἐν τάξει ταύτας γίνεσθαι καὶ ἐπὶ τῆς ἰδίας καὶ ἐπὶ τῆς πολεμίας ἀσφαλεστέρους καθίστησι τοὺς στρατιώτας. ἑκάστην δὲ μοῖραν ἐθίζειν τὴν ἰδίαν ἀποσκευὴν ὄπισθεν ἀκολουθεῖν μετὰ τῶν ἰδίων σημείων κατὰ τὸν λεχθέντα τρόπον καὶ μὴ ἐπιμίγνυσθαι ἑτέρᾳ. τῶν ἀναγκαίων ἐστὶ καὶ ἀφεστηκότων μὲν τῶν πολεμίων

CONSTITUTIO IX.

στρατὸν περιπατεῖν ποίησον, κἄντε κατὰ δρούγγους τὰς ὁδοιπορίας ποιοῦνται, κἄντε κατὰ τούρμας, κἄντε κατὰ ὅλας παρατάξεις. τὸ γὰρ ἐν τάξει ταύτας γίνεσθαι οὐ μόνον ἐπὶ τῆς πολεμίας, ἀλλὰ καὶ ἐπὶ τῆς ἰδίας ἀσφαλεστέρους καὶ προγεγυμνασμένους ποιεῖ τοὺς στρατιώτας.

6. Ἕκαστον δὲ δροῦγγον ἐθίζεσθαι ποίησον, ὥστε τὴν 6. ἰδίαν ἀποσκευὴν ὄπισθεν ἀκολουθεῖν μετὰ τῶν ἰδίων σημείων καὶ μὴ ἐπιμίγνυσθαι ἑτέρᾳ. ἀναγκαῖον γάρ ἐστιν, ὅτ᾽ ἂν οἱ πολέμιοι οὔτε πάρεισιν, οὔτε ἐλπίζων-

2460. *κ᾽ ἄν τε* **P_1**; item infra || **2461.** *ποιῶνται* **A P_1**, *ποιωνται* **V**, *ποιοῦνται* **M** || **2466.** *ἑκάστω δὲ δρούγγω* **MW**; in **A** *ἕκαστον* ex *ἑκάστῳ* factum || **2469. 2470.** *ἐλπίζονται* **codd.**; cf. IX, 20 et XII 1 ubi **codd.** plurimi *ἐλπίζηται* exhibent.

κἄντε εἷς εἷς δροῦγγος καὶ μία μία τοῦρμα περιπατῇ, κἄντε ὅλη παραταγή. τὸ γὰρ μετὰ συντάξεως περιπατεῖν τὸν στρατὸν οὐ μόνον || εἰς τὴν χώραν τῶν πολεμίων, ἀλλὰ καὶ εἰς p. 26. Meurs. τὴν ἡμετέραν, ἀσφαλεστέρους ποιεῖ τοὺς στρατιώτας καὶ προγυμνάζει αὐτούς.

6. ὀφείλει δὲ συνεθίζειν ἕνα ἕκαστον δροῦγγον, ἵνα ἡ ἀποσκευὴ αὐτοῦ, οἷον τὰ σαγμάρια καὶ τὰ πράγματα καὶ οἱ ἄνθρωποι αὐτοῦ, ἀκολουθῶσιν ὄπισθεν αὐτοῦ μετὰ τῶν φλαμούλων αὐτῶν καὶ μὴ μίσγωνται εἰς ἄλλον δροῦγγον ἢ τοῦλδον. ὅταν γὰρ εἰς τὴν ἡμετέραν γῆν περιπατῶσι καὶ οὔτε ἐγγύς εἰσιν οἱ πολέμιοι, οὔτε ἐλπίζονται, ἵνα ἔλθωσι,

517. Verba *κἄντε . . . . περιπατῇ* om. p || *τούρμα* C || *κᾄντε* p || 521. *ὄπισθεν αὐτῶν* p || 523. *περιπατῶσιν* p || *εἰσὶν* C.

*κατὰ μοῖραν ἢ κατὰ μέρος περιπατεῖν καὶ μὴ συνάγειν ἐν ἑνὶ τόπῳ τὸν πάντα στρατὸν διά τε τὸ μὴ *λοιμώττειν αὐτὸν εὐχερῶς, μηδὲ εὐσύνοπτον τοῖς ἐχθροῖς γίνεσθαι, μηδὲ εἰς βοσκὰς στενοῦσθαι. ἐγγιζόντων δὲ τῶν ἐχθρῶν ὡς πρὸ ἓξ ἢ ἑπτὰ ἡμερῶν ἢ καὶ δέκα, συνάπτεσθαι καὶ ἐν τῷ ἅμα ἀπληκεύειν κατὰ τὸν περὶ ἀπλήκτων λεχθέντα λόγον.*

CONSTITUTIO IX.

ται ἐν τῇ ἡμετέρᾳ γῇ, ἢ κατὰ δρούγγους ἢ κατὰ τούρμας περιπατεῖν καὶ μὴ συνάγειν ἐν ἑνὶ τόπῳ τὸν ἅπαντα στρατὸν διά τε τὸ μὴ λοιμώττειν αὐτὸν εὐχερῶς, μηδὲ εὐσύνοπτον τὸ πλῆθος ὅλον τοῖς κατασκόποις τῶν ἐχθρῶν, ὡς εἰκός, γίνεσθαι, μηδὲ εἰς βοσκὰς στενοῦσθαι.

[p.99.M.] 7. | 7. *Ἐγγιζόντων δὲ τῶν ἐχθρῶν ὡς πρὸ ἓξ ἢ ἑπτὰ ἡμερῶν ἢ καὶ δέκα, συνάπτεσθαι καὶ ἐν τῷ ἅμα ἀπλη-*

2472. *λιμώττειν* **M,** sed est eiusdem librarii idem error, qui in Urbicio; *λοιμικαῖς νόσοις περιπίπτειν* (omisso *αὐτὸν*) (*περὶ πίπτειν* **V**) **AP₁V**; cf. *Cecaum.* p. 11, 18—20: *οἱ δὲ ἀρχαῖοι εἶπον, ἵνα μὴ ποιῇ ὁ στρατὸς ἡμέρας πολλὰς εἰς ἕνα τόπον· γίνεται γὰρ ὀσμὴ καὶ ἐξ αὐτῆς ἀρρωστίαι.* „*Ined. Tact. Leonis*“ c. XXII: *ἔτι γε μὴν μηδὲ ἐπὶ πολλὰς ἐν τοῖς αὐτοῖς τόποις διατρίβειν ἡμέρας τὴν στρατιὰν χρή ⟨διὰ⟩ τὰς ἐκ τῆς σήψεως ἐπισυμβαινούσας λοιμώδεις νόσους.* || **2473.** *εὐσύνωπτον* **P₁** || *τοὺς κατασκόπους* **P₁V** || **2474.** *ὡς εἰκὸς τῶν ἐχθρῶν* **AP₁V** || **2477.** *καὶ* prius omm. **P₁V** || *συνάπτεσθαι* omm. **AP₁V** || **2477. 2478.** *ἀπλικεύειν* **M.**

καλόν ἐστι τὸ περιπατεῖν δροῦγγον ἕνα ἕνα καὶ τοῦρμαν μίαν μίαν καὶ μὴ συνάγειν τὸν στρατὸν ὅλον εἰς ἕνα τόπον διὰ τὸ μὴ περιπίπτειν αὐτοὺς εὐκόλως εἰς λοιμικὰς νόσους καὶ διὰ τὸ μὴ στενοχωρεῖσθαι αὐτοὺς εἰς τὰς ποηφαγίας τῶν ἵππων, τουτέστιν εἰς τὰς βοσκάς,
c.1237. **Lami.** *καὶ διὰ τὸ μὴ δύνασθαι τοὺς κατασκόπους* ||| *τῶν ἐχθρῶν μανθάνειν τὸ πλῆθος ἅπαν τοῦ στρατοῦ, ἂν ὑπάρχῃ συνηγμένον εἰς ἕνα τόπον.*

7. *ὅταν δὲ πλησιάσωσιν οἱ ἐχθροὶ ὡς ἀπὸ ἓξ ἢ ἑπτὰ ἡμερῶν ἢ καὶ δέκα, ὀφείλεις*

524. *καλὸν ἐστὶν* C.

3. *Χρή, ἐὰν μὲν ἐν ἀγνώστοις χωρίοις ἤτοι τόποις ἡ ὁδοιπορία γίνεται, τοὺς μήνσωρας προλαμβάνειν πρὸ μιᾶς ⟨ἡμερᾶς⟩, ὀφείλοντας τὴν περίμετρον τοῦ παντὸς ὑπογράφειν τόπου, ἐν ᾧ μέλλει στρατοπεδεύεσθαι, καὶ τὸ ἐπιβάλλον μέτρον ἀναλόγως ἑκάστῳ μέρει*

CONSTITUTIO IX.

κεύειν. καὶ ἐάν, ὡς εἰκός, ἐν ἀγνώστοις τόποις ἡ ὁδοιπορία γίνεται καὶ οὐ πάρεισί τινες ἐντόπιοι δουκάτορες, ἀποστείλῃς τοὺς μινσουράτωρας, ἵνα προλαμβάνωσιν, ἐὰν ἐχθροῦ φόβος οὐκ ἔστι, πρὸ μιᾶς ἡμέρας, οἵτινες ὀφείλουσι τὴν περίμετρον τοῦ παντὸς διαγράφειν στρατοπέδου, ἐν ᾧ μέλλεις στρατοπεδεύεσθαι, καὶ τὸ ἐπιβάλλον μέτρον ἀναλόγως ἑκάστῳ μέρει διαμερίσαι.

2478. *ἡ*] *ἢ* **M** || **2479.** *γίνηται* **A V**, *γένηται* **P_1** || *πάρεισι τινὲς* **M A**, *παρῶσι τινὲς* **P_1 V** || **2479. 2480.** *δουκάτορες* **M** || **2480.** *ἀποστείλεις* **M** || §§. 7—9. Cff. *„Inedita Tact. Leonis“* c. XLIX, 2: *Πρῶτα μὲν οὖν ἀφοβίας καθ᾽ ὁδὸν οὔσης δεῖ πρὸ μιᾶς ἡμέρας τοὺς μινσουράτωρας προκαταλαμβάνειν καὶ τοὺς ἁρμόζοντας πρὸς ἄπληκτα τόπον ἐκλέγεσθαι καὶ διαμερίζειν ἑκάστῳ τάγματι τὸν ἀρκοῦντα τόπον καὶ περὶ τῆς τῶν ἵππων νομῆς καὶ τῆς τῶν ὑδάτων δαψιλείας καταμανθάνειν. καὶ πρὸς τούτοις ἐν τοῖς δυσβάτοις καὶ λοχμώδεσι τόποις πεζικὸν ὁ *στρατηγὸς προεκπεμπέτω στρατὸν ἐπὶ τῷ εὐτρεπίζειν ὡς οἷόντε τὰς ὁδοὺς καὶ ἐξομαλίζειν· ἀναγκαιότατον γὰρ ἐν τοῖς μεγίστοις τοῦτο στρατεύμασι.* || **2480.** *μινσουράτωρας* **A P_1V**, *μινσουράτορας* **M** || **2481.** *οὐκ ἔστι* **A**, *μὴ ᾖ* **P_1V** || **2483.** *στρατοπέδου* ego, *στρατοῦ* codd.; error e duplice sensu vocabuli *στρατόπεδον* ortus; cf. *Anon. Byz. saec. VI. Περὶ στρατ.* c. XXVI: . . . *περὶ μηνσόρων, οἳ τοῦ στρατοῦ προτρέχοντες εὐτρεπίζουσι τὰ στρατόπεδα* || **2484.** *ἐπιλαγχάνον* **A P_1V.**

συνάγειν τὸν στρατὸν ὅλον καὶ ἐν τῷ ἅμα ἀπληκεύειν. ἂν δὲ εὑρίσκηται εἰς τόπους ἡ ὁδός, οὓς οὔτε σὺ γινώσκεις, οὔτε ἄλλος ἐκ τοῦ στρατοῦ, καὶ οὐκ ἔχεις ἐντοπίους τινὰς | δουκάτορας, fol. 10v *ἀπόστειλον τοὺς μινσουράτορας, ἵνα προλαμβάνωσι πρὸ μιᾶς ἡμέρας, εἰ οὐκ ἔστι φόβος ἐχθροῦ. οἱ μινσουράτορες γὰρ ὀφείλουσι χωρίζειν τὸ ἄπληκτον, ὅπου μέλλεις ἀπληκεῦσαι, καὶ διδόναι τόπον ἑκάστῳ τάγματι, ὅσος ἀρκεῖ αὐτῷ εἰς ἄπληκτον.*

530. *ἐντωπίμα* C || *οὓς*] *τοὺς* p; cf. 548. || 531. *σὺ*] *εὖ* p || 532. *ἐστὶ* p || 533. *ἀπλικεῦσαι* C, sed *λ ι* a m. rec.

διακεῖμαι, τὰ αὐτὰ δὲ ποιεῖν καὶ τοὺς ἀντικένσωρας, ὀφείλοντας τὴν τῶν ὑδάτων καὶ τῆς νομῆς χρῆσιν καταμανθάνειν.

4. *Χρὴ τοὺς πάνυ τραχεῖς ἢ κρημνώδεις ἢ δυσβάτους καὶ δασεῖς τόπους τοὺς ἀπαντῶντας προευτρεπίζειν πλήθους στρατεύοντος διά τινων ἐπὶ τοῦτο προπεμπομένων καὶ διορθοῦσθαι κατὰ τὸ δυνατόν, ἵνα μὴ συντρίβηται ἡ ἵππος, τοὺς δὲ ἀφοριζομένους ἐπὶ τούτῳ μὴ ὑποκεῖσθαι σκούλκᾳ ἢ ἑτέρῳ νουμέρῳ.*

CONSTITUTIO IX.

8. 8. *Τὰ αὐτὰ δὲ ποιεῖν καὶ τοὺς ἀντικένσωρας. οὗτοι δέ εἰσιν οἱ ὀφείλοντες τῶν ὑδάτων καὶ τῆς νομῆς τὴν χρῆσιν καταμανθάνειν.*

9. 9. *Ἐὰν δὲ διὰ τραχέων πάνυ τόπων ἡ ὁδοιπορία μέλλῃ γίνεσθαι ἢ κρημνωδῶν ἢ δυσβάτων ἢ δασέων, προευτρέπιζε πλῆθος στρατοῦ καὶ ἀπόστειλον ἐπὶ τοῦτο, ὥστε διορθώσασθαι καὶ παρασκευάσαι εὐθεῖαν γενέσθαι τὴν ὁδὸν κατὰ τὸ δυνατόν, ἵνα μὴ συντρίβηται ἡ ἵππος, τοὺς δὲ ἀφοριζομένους ἐπὶ τούτῳ μὴ ὑποκεῖσθαι βίγλᾳ ἢ ἑτέρᾳ δουλείᾳ.*

2485. *ἀντικένσορας* **M** || **2486.** *δὲ εἰσὶν* **P₁ V** || *βοσκῆς* **A P₁ V** || **2489.** *μέλλει* **P₁ V** || **2490. 2491.** *ἐπὶ τοῦτο* omm. **A P₁ V** || **2491.** *εὐθείαν* **P₁ V**, *ευθείαν* **M** || **2492 2493.** *συντρίβωνται* (*συντρίβονται* **P₁**) *οἱ ἵπποι* **A P₁ V** || **2493.** *ἐπὶ τοῦτο* **M P₁ V**; cf. X, 6 || **2494.** Urbicii verbum *νουμέρῳ* a Leone obiter perceptum esse credo. *Scheffer* *μουνέρῳ* tentavit, quod verbum Byzantinis inusitatum fuisse censeo.

8. *τὰ ὅμοια δὲ ἵνα ποιῶσι καὶ προλαμβάνωσι ⟨οἱ ἀντικένσορες⟩, [καὶ] οἱ ὀφείλοντες τὸ ὕδωρ καὶ τὴν βοσκὴν καταμανθάνειν.*

9. *εἰ δὲ μέλλεις περιπατῆσαι εἰς τόπους τραχεῖς ἢ κρημνώδεις καὶ δυσκόλους ἢ ἔχοντας δάση, προετοίμαζε πλῆθος στρατοῦ καὶ ἀπόστελλε ἔμπροσθεν πρὸς τὸ ὁμαλίσαι*
p. 27. Meurs. *τὴν ὁδόν, ὅσον δύνανται, ἵνα μὴ συντρίβωνται εἰς τὰς δυσκολίας τὰ ἱππάρια. οἱ || δὲ τεταγμένοι εἰς τοῦτο οὐκ ὀφείλουσιν ὑποκεῖσθαι ἢ βίγλῃ ἢ ἄλλῃ τινὶ δουλείᾳ.*

535. *οἱ ἀντικ.* inserui || *καὶ* delevi; cf. 549.

5. Χρὴ περιπατοῦντος τοῦ στρατοῦ ἡγεῖσθαι τὸν τοῦ παντὸς στρατηγόν, προπορευόμενον αὐτοῦ τιμῆς ἕνεκεν καὶ διὰ τὸν φόβον⟩ τῶν ἐπιτιμίων, [καὶ] ⟨μετ'⟩ ἰδικῶν αὐτοῦ ἀνθρώπων ⟨καὶ⟩ μετὰ τῶν ἀδεστράτων καὶ βουκελλαρικῶν βάνδων, ὄπισθεν δὲ αὐτοῦ εὐθὺς τοὺς σπαθαρίους καὶ μετ' αὐτοὺς βουκελλαρίους, τελευταῖον δὲ τούτων τὴν ἀποσκευήν. πρὸς τὸ σχῆμα δὲ τοῦτο καὶ ἕκαστον ἄρχοντα μέρους ἢ μοίρας τὴν αὐτὴν τάξιν φυλάττειν, εἴτε ἡνωμένως περιπατοῦσιν, εἴτε καὶ ἰδίᾳ.

CONSTITUTIO IX.

10. *Περιπατοῦντος δὲ τοῦ στρατοῦ ἡγείσθω ἡ σὴ* 10.
ἐνδοξότης, ὡς τοῦ παντὸς στρατοῦ στρατηγός, προπορευόμενος αὐτοῦ τιμῆς ἕνεκεν καὶ διὰ τὸν φόβον τῶν ἐπιτιμίων, μετὰ τῆς σῆς ἁπάσης προελεύσεως καὶ τῶν μετὰ σοῦ βάνδων· καὶ ὄπισθεν πάντων ἡ περὶ σὲ ἀποσκευή.

11. *Πρὸς τὸ σχῆμα δὲ τοῦτο καὶ ἕκαστος τουρ-* 11.
μάρχης ἢ δρουγγάριος περιπατείτω τὴν αὐτὴν τάξιν φυ|λάττων, εἴτε ἡνωμένως περιπατοῦσιν, εἴτε ἰδίως. [p. 100. M.]

2495. §§. 10—11.] Cff. „*Inedita Tactica Leonis*" c. XLIX 3.: *Προηγείσθω δὲ πάντων ἐν ταῖς ὁδοιπορίαις ὁ στρατηγὸς μετὰ τῶν βάνδων καὶ τῆς λοιπῆς αὐτοῦ προελεύσεως· . . . τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν τουρμαρχῶν καὶ δρουγγαρίων καὶ κομήτων καὶ τῶν λοιπῶν ἡγεμόνων ἕκαστος τῆς οἰκείας προιέτω τάξεως κ. τ. λ.* || *σῆ* **P_1 V** || **2497.** *τιμὴν* **P_1 V** || **2499.** *μετά σου* **A** || *ἡπερισὲ* **A P_1** || **2503.** *ἡνωμένως* **M.**

10. *ὅταν δὲ περιπατῇ ὁ στρατός, ὀφείλεις περιπατεῖν σὺ ἔμπροσθεν πάντων, ὦ στρατηγέ, καὶ διὰ τιμήν, ἵνα ὡς στρατηγὸς περιπατῇς ἔμπροσθεν τοῦ στρατοῦ, καὶ διὰ τὸ βλέπειν σὲ καὶ αὐτοὺς ἔμπροσθεν καὶ φοβεῖσθαι τὰ ἐπιτίμια καὶ μὴ ποιεῖν ἐναντίον τι. περιπατείτω δὲ μετὰ σοῦ ἡ προέλευσίς σου πᾶσα καὶ τὸ βάνδον σου, ὀπίσω δὲ πάντων περιπατείτωσαν τὰ σαγμάρια καὶ οἱ ἄνθρωποί σου.*

11. *ἵνα δὲ περιπατῇ πρὸς τὸ σχῆμα τοῦτο καὶ εἷς ἕκαστος τουρμάρχης καὶ εἷς ἕκαστος δρουγγάριος καὶ φυλάττῃ τὴν ὁμοίαν τάξιν, κἄντε ἐν τῷ ἅμα περιπατῶσι, κἄντε χωρίς.*

541. *συ* (sic) post **ὀφείλεις** est inculcatum a p || 543. **σε** C, om. p || **τί** C || 544. **σοῦ** om. p. ||

6. *Χρὴ ἐν ταῖς τῶν ποταμῶν διαβάσεσιν ἢ ἄλλων δυσχερῶν χωρίων ἀγνώστων τοὺς ἀντικένσωρας προλαμβάνειν καί, δοκιμάσαντας πρότερον τοὺς τόπους, ἀπαγγέλλειν τῷ στρατηγῷ τὰ τοῦ τόπου καὶ προφυλάττεσθαι τὴν διάβασιν διὰ τῶν ἐπιτηδείων ἀρχόντων. εἰ δὲ πάνυ ἐπισφαλεῖς εἰσιν οἱ τόποι, καὶ αὐτόν, τὸν τοῦ*

CONSTITUTIO IX.

12. *Ἐν δὲ ταῖς τῶν ποταμῶν διαβάσεσιν ἢ ἄλλων ἀγνώστων χωρίων τοὺς ἀντικένσωρας προλαμβάνειν, ὥστε δοκιμάζειν πρότερον τοὺς τόπους καὶ οὕτως ἀπαγγέλλειν σοι τὰ τοῦ τόπου, ἵνα διὰ τῶν ἐπιτηδείων ἀρχόντων ἀποστέλλῃς καὶ προφυλάττῃς τὴν διάβασιν.*

12. 13. *Εἰ δὲ πάνυ ἐπισφαλεῖς εἰσιν οἱ τόποι καὶ δύσκολοι, καὶ σὲ αὐτόν, τὸν τοῦ παντὸς στρατηγόν,*

2504. §§. 12—15.] Cff. „*Inedita Tactica Leonis*“ c. XLIX, 4: *Πρὸς τὸ ῥαδίως δι' αὐτῶν καταμανθάνειν τὸν στρατηγὸν τὰ καθ' ὁδὸν συμβαίνοντα, ἐν δυσχωρίαις μέντοι καὶ ποταμῶν μεγίστων διαβάσεσι προσμένειν αὖθις ἕκαστον χρὴ καὶ τῶν ἡγεμόνων, ἄχρις ἂν ἀκινδύνως ⟨ὁ⟩ ὑπ' αὐτὸν διαπεραιωθείη στρατός. τὸ δ' αὐτὸ καὶ ἐν τοῖς ὑπέργοις τῶν τόπων καὶ ἀρωσίμοις παραφυλακτέον ἐστίν, εἴτε διὰ τῆς ἰδίας ὁ στρατὸς δίεισι γῆς, εἴτε μὴν καὶ διὰ συμμαχίδος [γῆς]. δεῖ γὰρ μάλιστα μὲν μηδὲ τὸ παράπαν διὰ τῶν τούτων τὸν στρατὸν τόπων ἄγειν, ἀνάγκης δ' ἐπικειμένης αὐτοὺς χρὴ τοὺς ἡγεμόνας τοῖς εἰρημένοις ἐφίστασθαι τόποις καὶ μὴ πρότερον ὑπαναχωρεῖν ἐκεῖθεν, μέχρις ἂν τὸ ὑφ' ἕκαστον διέλθοι στράτευμα.* || **2505.** *ἀντικένσορας* **M** || **2509.** *εἰσὶν* **codd.** || **2510.** Pro *καὶ* voluit *χρὴ* **Meur-**

12. *ὅτε δὲ μέλλεις διαβῆναι ποταμὸν ἢ ἄλλους τόπους, οὓς οὔτε σὺ γινώσκεις, οὔτε ἄλλος ἐκ τοῦ στρατοῦ, ἵνα προλαμβάνοντες ⟨οἱ ἀντικένσορες,⟩ οἱ ὀφείλοντες καταμανθάνειν τὸ ὕδωρ καὶ τὴν βοσκήν, δοκιμάζωσι πρῶτον τοὺς τόπους καὶ τότε ὑποστρέφωσι καὶ ἀναγγέλλωσί σοι, καὶ σὺ ἵνα ἀποστέλλῃς ἄρχοντας ἐπιτηδείους καὶ φυλάττῃς, ἔνθα μέλλων διαβῆναι ὁ στρατός.*

13. *εἰ δέ εἰσιν οἱ τόποι κατὰ πολὺ δύσκολοι καὶ ἐπικίνδυνοι, ὀφείλεις καὶ σύ, στρα–*

547. *ἐντωάμα* C || 548. *συ* p || 549. *προσλαμβάνοντες* p || *οἱ ἀντικένσορες* inserui || 551. *σοι*] *σε* p || *συ* p || *μέλλει* p || 553. *δὲ εἰσὶν* C p || *συ* p.

παντὸς στρατηγόν, ἀπέρχεσθαι καὶ μένειν κατὰ τὸν τόπον, ἄχρις ἂν πάντες ἀπαθῶς διέλθωσιν. τοῦτο δὲ ποιεῖν τὸν στρατηγὸν πολε-

CONSTITUTIO IX.

ἀπέρχεσθαι καὶ γίνεσθαι κατὰ τὸν τόπον καὶ παρα- c. 772.
στῆναι δέ, ἄχρις ἂν πάντες ἀπαθῶς διέλθωσιν.

14. Τοῦτο γὰρ καὶ τὸν ἡμέτερον ἀείμνηστον πατέρα 13.
καὶ βασιλέα Βασίλειον πεποιηκέναι γινώσκομεν, ὅτε κατὰ Γερμανικείας, τῆς ἐν Συρίᾳ, τὴν ἐκστρατείαν ἐποιήσατο, προκαταλαβόντα μὲν τὸν Παράδεισον λεγόμενον ποταμόν, παραστάντα δὲ μετὰ λαμπάδων κατὰ τὸ μέσον, καὶ τῇ αὐτοῦ παρουσίᾳ καὶ ἀσφαλείᾳ πάντα τὸν ὑπ᾽ αὐτὸν στρατὸν ἀπαθῶς καὶ εὐκόλως διαβιβάσαντα, ὡς καὶ χεῖρα δοῦναι πολλάκις καὶ δι᾽ ἑαυτοῦ τινας τῶν στρατιωτῶν κινδυνεύοντας ἀνασώσασθαι.

15. Τοῦτο δὲ ποιεῖν σοι κελεύομεν, ὦ στρατηγέ, ἐὰν 14.

sius || σεαυτὸν M P_1 || τὸν om. M; cff. *Praecepta Nicephori* 7, 10 || **2511.** καὶ γίνεσθαι omm. A P_1 V || **2511. 2512.** παρίστασθαι A P_1 V || **2512.** δὲ | ἐκεῖ A P_1 V **2512.** μέχρις A P_1 V || διέλθωσι P_1 V || **2515.** γερμανικίας M || τὴν omm. P_1 V || **2520.** διεαυτοῦ M || **2521.** τινας om. A, τινὰς habent M P_1 V || ἀνασώσασθαι libri; cf. *Crönert* p. 51. || **2522.** σοι ποιεῖν A P_1 V.

τηγέ, ἀπέρχεσθαι εἰς τοὺς τόπους ἐκείνους καὶ παρίστασθαι ἐκεῖ, ἕως ἂν πάντες ἀβλαβῶς διαβῶσι.

14. τοῦτο γὰρ καὶ ὁ ἡμέτερος πατὴρ καὶ βασιλεὺς ἐποίησεν, ὅτε κατὰ Γερμανικείας ἐπὶ τῇ Συρίᾳ, ἐταξιδεύσαμεν. ἀπῆλθε γὰρ αὐτὸς ἐκεῖνος εἰς τὸν ποταμόν, τὸν λεγόμενον Παράδεισον, καὶ παρεστάθη εἰς τὸ μέσον τοῦ ποταμοῦ, ἔχων φανοὺς καὶ λαμπάδας, ἕως ὅτου ὁ λαὸς αὐτοῦ πᾶς ἀβλαβῶς διέβη τὸν ποταμόν. πολλάκις δὲ καὶ στρατιώτας τινὰς κινδυνεύοντας εἰς τὸν τοιοῦτον ποταμὸν ἁπλώσας τὴν ἰδίαν ἐκεῖνος χεῖρα καὶ κρατήσας αὐτοὺς διέσωσε.

15. τοῦτο ὀφείλεις καὶ αὐτὸς σὺ ποιεῖν, καὶ προλαμβάνειν καὶ ἀπέρχεσθαι εἰς τοὺς

554. **τοὺς** om. p || 556. **ἐποίη** C || 557. **ἐταξειδεύσαμεν** C || 559. **διέβη ἀβλαβῶς** p || 561. **διέσωσε** C p; cf.

μίων μὴ ἐγγιζόντων τῷ τόπῳ ἐκείνῳ, τηνικαῦτα γὰρ αὐτὸν ἀπομένειν οὐ δέον, ἀλλὰ ἑκάστου μέρους τὸν ἄρχοντα, πληροῦντα τὴν αὐτὴν χρείαν, μέχρις οὗ πάντες οἱ ὑπ᾽ αὐτὸν ἀβλαβῶς διέλθωσιν, ἵνα μὴ ἐκ τοῦ σπουδάζειν πάντας προλαβεῖν συντριβαί, ἴσως καὶ βλάβαι παρακολουθήσωσιν.

CONSTITUTIO IX.

μὴ ἐγγίζωσιν οἱ πολέμιοι τοῖς τόποις ἐκείνοις. ἐὰν δὲ ἐγγίζωσιν, τότε σὲ μὲν ἐν τῇ ἰδίᾳ τάξει μένειν, ἕκαστον δὲ ἄρχοντα τοῦ ἰδίου μέρους τὴν χρείαν ἀναπληρῶσαι, ἕως ἂν πάντες οἱ ὑπ᾽ αὐτὸν στρατιῶται ἀβλαβῶς διέλθωσιν, ἵνα μὴ σπουδάζοντες πάντες ἄλλος τὸν ἄλλον προλαβεῖν ἀτακτοῦσι καὶ συντρίβωνται, ἴσως τότε καὶ βλάβαι τινὲς γίνονται.

[p.101.M.] *15.* 16. *Ὅτ᾽ ἂν δὲ ἐν τῇ χώρᾳ τῶν ὑπηκόων ἡμῶν τὴν*

2524. *ἐγγίζωσι* **MW** || **2525.** *τὸ ἴδιον μέρος* **AP₁V** || *τὴν χρείαν ἀναπληρῶσαι*] *διαβιβάσαι* **AP₁V** || **2526.** *ἂν* omm. **AP₁V** || *ὑπαυτὸν* **W**, *ὑπ᾽ αὐτοὺς* **P₁V** || **2528.** *ἀτακτοῦσι* **M**, *ἀτακτουσι* **W**, *ἀτακτῶσι* **AP₁V** || *συντρίβονται* **P₁V** || *ἴσως δὲ τότε* **P₁V** || **2530.** §§. 16—20] Cff. „*Inedita Tactica Leonis*" c. XLIX, 5: *Εἶτα τῷ κατόπιν αὐτοῦ ἐρχομένῳ ἡγεμόνι τοὺς τόπους ἀβλαβεῖς παραδοῦναι καὶ οὕτω τῆς ἐπὶ τὰ πρόσω πορείας λοιπὸν ἔχεσθαι, λύεσθαί τε γὰρ οὕτω τὰς τάξεις οὐ συμβαίνει. καὶ οἱ γεωργοὶ δὲ τῶν οἰκείων ἀπολαύσωσι πόνων. περικόπτειν δὲ ἀεὶ χρὴ καὶ τὰς κατὰ τῶν θηρίων διώξεις ἐν ταῖς ὁδοιπορείαις καὶ μάλιστα πολέμου προσδοκωμένου. ἀναγκαῖα γὰρ τὰ κυνήγια τοῖς στρατιώταις,*

fol. 11r *πολὺ* | *δυσκόλους τόπους καὶ εἰς τοὺς ποταμούς, κἂν ἄρα μὴ πλησιάζωσιν οἱ πολέμιοι εἰς*
p. 28. **Meurs.** *τοὺς* ‖ *τόπους ἐκείνους. ἂν δὲ πλησιάζωσι, τότε σὲ μὲν ἁρμόζει εἶναι εἰς τὴν ἰδίαν τάξιν, ἕκαστος δὲ ἄρχων ὀφείλει παρίστασθαι ἐκεῖ, ἕως ἂν πάντες οἱ ὑπ᾽ αὐτὸν στρατιῶται ἀβλαβῶς διαβῶσιν, ἵνα μὴ σπουδάζοντες πάντες προλαβεῖν ἄλλος τὸν ἄλλον ἀτακτῶσι καὶ συντρίβωνται, τότε καὶ βλάβαι τινὲς ἴσως γίνωνται.*

16. *ὅταν δὲ εἰς τὴν ἡμετέραν χώραν ὁ στρατὸς διαβαίνῃ, παράγγελλε τοῖς στρατιώταις,*

222. || 562. *σν* p || 563. *κἂν* p || 564. Loco verbi *σὲ* lacuna in p,

7. Χρὴ τῶν γεωργηθέντων φείδεσθαι τόπων καὶ μὴ δι' αὐτῶν τὰς διαβάσεις ποιεῖσθαι, καὶ τοὺς ὑποτελεῖς ἀζημίους φυλάττειν· εἰ δὲ ἀνάγκη πάντως δι' αὐτῶν παρέρχεσθαι, παραγγέλλειν τὸν ἑκάστης μοίρας ἢ μέρους ἄρχοντα μένειν, μέχρις οὗ τὰ ὑπ' αὐτὸν

CONSTITUTIO IX.

διάβασιν τοῦ στρατοῦ ποιῇς, φείδεσθαι καὶ ἀποφεύγειν τοὺς γεωργηθέντας τόπους τοῖς στρατιώταις παράγγελλε, εἴτε χωράφιά εἰσιν, εἴτε ἀμπελῶνες ἢ κῆποι, καὶ μὴ διαβαίνωσι μέσον αὐτῶν, ἵνα φυλάττῃς τοὺς ὑποτελεῖς ἡμῶν καὶ γεωργοὺς ἀζημίους κατὰ τὸν παρ' ἡμῶν σοι παρεκτεθέντα νόμον.

17. Καί, εἰ μὲν δυνατόν, διὰ τῶν ἀγεωργήτων τόπων 16.
μακρὰν σε διέρχεσθαι· εἰ δὲ ἀνάγκη σε κατεπείγει διὰ τῶν τοιούτων γεωργηθέντων τόπων διελθεῖν, παραγγείλῃς τοὺς ἑκάστου τάγματος ἄρχοντας, μέχρις ἂν οἱ ὑπ' αὐτοὺς τεταγμένοι στρατιῶται παρέλθωσιν, ἵστασθαι

ἀλλ' ἐν εἰρήνης καὶ μόνον καιροῖς. || 2532. παράγγελλε τοῖς στρατιώταις habent A P_1 V post (2531) ποιῇς || 2533. χωράφια εἰσὶν (ἐστὶν A) codd. || 2535. ἡμῖν P_1 V || καὶ omm. A P_1 V || 2535—2536. Verba κατὰ . . . . νόμον non servaverunt A P_1 V || 2536. προεκτεθέντα Meursii codex || 2538. συνέρχεσθαι P_1 V; in cod.-is A διέρχεσθαι syllaba δι in ras. || κατεπείγῃ W || 2539. 2540. παραγγείλεις M W, παραγγειλης V || 2540. ἑκάστου] ἐκ τοῦ P_1 V.

ἵνα φείδωνται καὶ ἀποφεύγωσι τοὺς γεωργηθέντας τόπους καὶ μὴ διαβαίνωσι μέσον αὐτῶν, οἷον εἴτε χω||ράφιά εἰσιν, εἴτε ἀμπελῶνες, εἴτε κῆποι. ὀφείλουσι γὰρ φυλάττεσθαι οἱ ἡμέ- p. 1240 Lami.
τεροι τόποι ἀζήμιοι κατὰ τὸν παραδοθέντα σοι τύπον παρ' ἡμῶν.

17. καί, εἰ μὲν δυνατόν, ἵνα διαβαίνῃ πάντοτε ὁ στρατὸς εἰς ἀγεωργήτους τόπους· ἂν δὲ κατεπείγῃ σε ἀνάγκη διαβῆναι καὶ εἰς τόπους γεωργουμένους, ἵνα παραγγείλῃς ἑνὸς ἑκάστου τάγματος ἄρχοντα ἵστασθαι καὶ φυλάττειν πρὸς τὸ μὴ πραιδευθῆναι τοὺς τοιού-

569. ἀποφεύγωσιν p || 570. χωράφια εἰσὶν C p || 571. τύπον Meursius, τόπον C p.

παρέλθωσι τάγματα καὶ τῷ μετ᾽ αὐτὸν παραδιδόντα ἀβλαβεῖς τόπους ἀναχωρεῖν, τὸν ὅμοιον δὲ τρόπον καὶ τοῦ μετ᾽ ἐκεῖνον πράττοντος καὶ τὸ αὐτὸ ἐφεξῆς ἑκάστου ἄρχοντος ποιοῦντος. ἐντεῦθεν γὰρ καὶ ἡ τοῦ στρατηγοῦ εὐταξία καὶ τοῦ γεωργοῦ τὸ ἀσφαλὲς φυλαχθήσεται.

8. *Χρὴ καμάτου ἐγγίζοντος, εἴπερ ζῷα ἄγρια κατὰ τὴν ὁδὸν*

CONSTITUTIO IX.

καὶ φυλάττειν καὶ τῷ ἀπ᾽ αὐτὸν ἐρχομένῳ παραδιδόναι τοὺς τοιούτους τόπους ἀβλαβεῖς καὶ οὕτως ἀναχωρεῖν.
17. 18. *Τὸν ὅμοιον δὲ τρόπον ποιεῖν καὶ τὸν ἀπ᾽
ἐκείνου, καὶ ἕκαστος ἄρχων τὸ αὐτὸ ποιείτω. οὕτως γὰρ
καὶ ἡ σὴ εὐταξία καὶ ἡ τῶν ἀρχόντων καὶ ἡ τοῦ
στρατοῦ, καὶ τὸ ἀσφαλὲς τοῦ γεωργοῦ διαφυλαχθήσεται.*
18. 19. *Ὅτ᾽ ἂν δὲ ἐγγίζῃ καὶ προσδοκᾶται κάματος
πολέμου ἢ δυσχερὴς καὶ ἐπίκοπος διάβασις, ἐὰν ζῷα*

2542. *τῷ*] *τὸ* **P₁**; **A P₁ V** ante inserunt *ἕκαστος* || *ἀπ᾽ αὐτὸν* **A**, *ἀπ᾽ αὐτοῦ* **M**, *ἀπαυτοῦ* **W**, *μετ᾽ αὐτὸν* **P₁ V**; *ἐπ᾽ αὐτοῦ* **Meursius** tentavit; *ἀπ᾽ αὐτὸν* legendum fortasse etiam apud *Urbicium;* cf. *Const. Porph.* De cerim 154, 14; 179, 15, 24 || Post *ἐρχομένῳ* inserunt *ἄρχοντι* **A P₁ V** || **2544—2545.** *Τὸν . . . . ποιείτω* omm. **A P₁ V** || *ἀπεκείνου* **W**; malim *ἀπ᾽ ἐκεῖνον*, sed cf. Byz. Z. II. 643 || **2547.** *τὸ ἀσφαλὲς* ego ex Urbicio, *τὸ ἀβλαβὲς* codd. || **2548—2549.** Pro *Ὅτ᾽ ἂν . . . . . διάβασις* **A P₁ V** sic: *ὅτ᾽ ἂν δὲ πόλεμος προσδοκᾶται* (*προσδοκᾶτε* **A**) *ἢ διάβασις δυσχερὴς καὶ ἐπίκοπος* (*ἐπίσκοπος* **P₁**) || **2549.** *ζῶα* libri.

τους τόπους, ἕως ἂν ὁ λαὸς διαβῇ, καὶ τότε ὀφείλει παραδιδόναι οὕτως ἀπραιδεύτους τοὺς τόπους τῷ ἐρχομένῳ ὀπίσω αὐτοῦ ἄρχοντι καὶ οὕτως ἀναχωρεῖν.

18. *τὰ ὅμοια δὲ ποιείτω καὶ ἐκεῖνος καὶ εἷς ἕκαστος ἄρχων τὸ αὐτό, ἕως οὗ ὁ στρατὸς ὅλος διαβῇ. ἐκ τούτου γὰρ φυλάττεται καὶ ἡ σὴ καὶ ἡ τῶν ἀρχόντων καὶ ἡ τοῦ στρατοῦ εὐταξία, καὶ ὁ γεωργὸς ἀβλαβὴς διατηρεῖται.*

19. *ὅταν δὲ πλησιάζῃ καὶ προσδοκᾶται πόλεμος ἢ ὅταν μέλλῃ διαβῆναι ὁ στρατὸς δύσκολον ὁδὸν καὶ ἔχουσαν κόπον, ἂν ἐγερθῶσι κατὰ τὴν ὁδόν, ἣν ἔτι περιπατεῖ ὁ στρατός,*

575. *ἀπαραιδεύτας* p || 577. *δὲ* om. p || 580. *προσδοχῆται* p || 581. *ἣν ἔτι* Lami, *ὥς ἔτι* (in C ita scriptum, ut pro *ἔστι* possit legi) C p.

διαναστῶσιν ἢ ὑπαντήσωσιν, κωλύειν τὰς κατ' αὐτῶν διώξεις, ὡς δι' αὐτῶν θορύβου καὶ κραυγῆς γινομένων καὶ τῶν ἵππων οὐκ ἀναγκαίως συντριβομένων. ἐν δὲ καιρῷ εἰρήνης ἀναγκαῖά εἰσιν τὰ κυνήγια τοῖς στρατιώταις.

9. *Χρή, ἐὰν ὀλίγος ἐστὶν ὁ στρατός, μὴ ἐπιτηδεύειν διὰ τόπων οἰκουμένων παράγειν αὐτόν, μηδὲ ἐν τῇ ἰδίᾳ, μηδὲ ἐν τῇ πολεμίᾳ,*

CONSTITUTIO IX.

ἄγρια ἢ ἥμερα κατὰ τὴν ὁδὸν διαναστῶσιν ἢ ὑπαντήσωσι κατὰ πρόσωπον, κωλύῃς, ἵνα μὴ διώκωσιν αὐτά, ὅτι δι' αὐτῶν θόρυβος καὶ κραυγὴ γίνεται καὶ οἱ ἵπποι χωρὶς ἀνάγκης συντρίβονται.

20. *Ὅτ' ἂν δὲ καιρός ἐστιν εἰρήνης* | *καὶ οὐδεμία* 19. [p. 102 M.]
ἀνάγκη ἐλπίζηται, τότε χρήσιμά εἰσι τὰ κυνήγια τοῖς στρατιώταις.

21. *Ἐὰν δὲ ὀλίγον στρατόν, ὡς εἰκός, ἐπιφέρῃ καὶ* 20.
μέλλῃς ἐπιτηδεύειν κατὰ τῶν πολεμίων, μὴ διαβιβάζῃς αὐτοὺς διὰ τόπων οἰκουμένων, μηδὲ ἐν || *τῇ ἡμετέρᾳ* c. 773.

2550. *ἢ ἥμερα* omm. **A P$_1$ V** || **2551.** *κωλύεις* **A** || **2552.** *δυνατῶν* **P$_1$ V** || *γίνεται καὶ κραυγὴ* **A P$_1$ V** || **2554.** *ὅτ' ἂν καιρὸς εἰρήνης ᾖ* **P$_1$ V** || *οὐδὲ μία* **M P$_1$** || **2555.** *ἐλπίζεται* **W** || *χρήσιμα εἰσὶ* **M W**, *χρήσιμά ἐστι* (-α ἐστὶ **P$_1$ V**) **A P$_1$ V** || *κυνήγια* man. marg. cod. **P$_1$** ex *κυνίγια* || **2557.** *ὡς εἰκὸς* omm. **A P$_1$ V** || *ἐπιφέρῃ*] *ἔχῃς* **A P$_1$ V** || **2558.** *μέλλεις* **M W** || *ἐπιτίθεσθαι* **A P$_1$ V** || **2559.** *κατὰ* **M W** || *μηδὲ*] *μὴ δὲ* **M**, *μηδὲ* **W**, *μήτε* **A V**, *μήτι* **P$_1$**.

ἄγρια ζῷα ἢ καὶ ἀπὸ ἔμπροσθεν ἂν ὑπαντήσωσιν αὐτοῖς, κώλυσον αὐτούς, ἵνα μὴ διώκωσι ταῦτα. γίνεται γὰρ θόρυβος καὶ κραυγή, ἀλλὰ καὶ τὰ ἱππάρια αὐτῶν καὶ χωρὶς ἀνάγκης συντρίβονται.

20. *ὅταν δὲ ὑπάρχῃ καιρὸς εἰρήνης καὶ οὐδεμία* || *ἀνάγκη ἐλπίζηται, τότε εἰσὶ χρήσιμα τὰ κυνήγια εἰς τοὺς στρατιώτας.* p. 29 Meurs.

21. *ἂν δὲ ὀλίγον στρατὸν ἔχῃς καὶ μέλλῃς ποιεῖν ἐπιτηδεύματα μετὰ τῶν πολεμίων, μὴ διαβαίνῃς μετὰ τοῦ τοιούτου στρατοῦ εἰς τόπους οἰκουμένους, μήτε εἰς τὴν ἡμετέραν*

582. *ζῶα* C || 583. *καὶ* tertium supervacuum? || *ἐλπίζεται* C p.

ἵνα μὴ διὰ κατασκόπων ἔκδηλος γενόμενος τοῖς ἐχθροῖς πουβλικισθῇ, ἀλλὰ δι' ἑτέρων τόπων προέρχεσθαι.

Onas. Strat. Cap. VI, 11. *τὴν δὲ τῶν πολεμίων φθειρέτω καὶ καιέτω καὶ τεμνέτω· ζημία γὰρ χρημάτων καὶ καρπῶν ἔνδεια μειοῖ πόλεμον, ὥσπερ περιουσία τρέφει . . . .* 12. *εἰ δὲ πολὺν ἐν τῇ πολεμίᾳ*

CONSTITUTIO IX.

γῇ, μηδὲ ἐν τῇ πολεμίᾳ, ἵνα μὴ φανερωθῇς διὰ τῶν κατασκόπων τοῖς ἐχθροῖς, ἀλλὰ δι' ἑτέρων τόπων ἀφανῶν σπούδαζε προέρχεσθαι. καὶ ταῦτα μέν, ὅτ' ἂν ἐν τῇ ἰδίᾳ χώρᾳ τὸν στρατὸν διαβιβάζῃς, χρή σε διαπράττεσθαι.

21. 22. Ὅτ' ἂν δὲ ἐν τῇ πολεμίᾳ τὴν ὁδοιπορίαν ἐπάγῃς τοῦ στρατοῦ, χρή σε ταύτην φθείρειν καὶ καίειν καὶ κατατέμνειν. ζημία γὰρ χρημάτων καὶ καρπῶν ἔνδεια ἐλάττονας ποιεῖ τοὺς πολεμίους καὶ τὸν πόλεμον ἀσθενέστερον, ὥσπερ ἡ τούτων περιουσία μᾶλλον τρέφει τοῦτον καὶ αὐξάνει.

2560. *μὴ δὲ* **M**, *μηδε* **W**, *μήτε* **A P_1 V** || *φανερωθεὶς* **P_1 V** || **2562.** *προέρχεσθαι* **ego**, *παρέρχεσθαι* (quod iam legit auctor recensionis Constantinianae) **codd.** || **2565—2566.** Pro *τὴν . . . . στρατοῦ* **A P_1 V** *ὁδοιπορῇς* exhibent || **2566.** *καὶ καίειν* om. **P_1** || **2567.** *κατακόπτειν* **A P_1 V** || *ἡ γὰρ τῶν χρημάτων ζημία καὶ ἡ τῶν καρπῶν* (*κάρπων* **P_1 V**) *ὀλίγωσις* **A P_1 V** || **2568—2569.** *καὶ τοὺς πολεμίους ἐλάττονας ποιεῖ καὶ τὸν πόλεμον ὀλιγώτερον* **A P_1 V** || **2569—2570.** *τοῦτον τρέφει* **P_1 V.**

γῆν, μήτε εἰς τὴν τῶν πολεμίων, ἵνα μή σε ἴδωσι κατάσκοποι καὶ ἀναγγείλωσι τοῖς πολεμίοις τὴν ὀλιγότητα τοῦ στρατοῦ σου· ἀλλὰ καὶ εἰς ἄλλους τόπους ἀφανεῖς σπούδαζε διαβαίνειν. καὶ ταῦτα μὲν ποίει, ὅταν εἰς τὴν ἡμετέραν χώραν μετὰ τοῦ στρατοῦ διαβαίνῃς.

22. ὅταν δὲ εἰς τὴν πολεμίαν περιπατῇς, ὀφείλεις πραιδεύειν αὐτὴν καὶ καίειν, καὶ κατακόπτειν τὰ δένδρα. ὅσον γὰρ τὰ πράγματα καὶ τοὺς καρποὺς ἀφανίζῃς τῶν πολεμίων,
fol. 11^{v} *τοσοῦτον ποιεῖς καὶ τοὺς πολεμίους ὀλιγωτέρους | καὶ τὸν πόλεμον ἀσθενέστερον.*

590. *και* om. C.

μέλλει καταστρατοπεδεύειν χρόνον, τοσαῦτα καὶ τοιαῦτα φθειρέτω τῆς χώρας, ὧν αὐτὸς οὐχ ἕξει χρείαν, ἅττα δ' ἀναγκαῖα φυλαχθέντα τοῖς φιλίοις ἔσται, τούτων φειδέσθω.

13. [V. et supra p. 209.] τῶν δὲ δυνάμεων ἐκπεπληρωμένων μήτ' ἐπὶ τῆς ἰδιοκτήτου, μήτ' ἐπὶ τῆς ὑπηκόου, μήτ' ἐπὶ τῆς συμμαχίδος καθεζόμενος ἐγχρονιζέτω χώρας· τοὺς γὰρ ἰδίους ἀναλώσει καρποὺς καὶ ζημιώσει πλέον τοὺς φίλους ἢ τοὺς πολεμίους· μετα-

CONSTITUTIO IX.

23. Ἐὰν δὲ πολὺν χρόνον ἐν τῇ πολεμίᾳ γῇ μέλλῃς 22. καταστρατοπεδεύειν, τοσαῦτα καὶ τοιαῦτα φθεῖρον τῆς χώρας, οἵων καὶ ὅσων αὐτὸς οὐχ ἕξεις χρείαν, τὰ δὲ ἀναγκαῖα φύλαττε τοῖς μετὰ σοῦ στρατεύμασιν εἰς δαπάνην αὐτῶν.

24. Ὅτ' ἂν δὲ τὰς ἁπάσας δυνάμεις ἔχῃς ὁμοῦ, 23. μήτε ἐπὶ τῆς ἡμετέρας χώρας, μήτε ἐπὶ ἄλλης ὑπηκόου καθεζόμενος ἐγχρόνιζε. καὶ γὰρ τοὺς ἰδίους ἀναλώσεις καρποὺς καὶ ζημιώσεις πλέον τοὺς φίλους, μᾶλλον ἢ

2571. γῇ omm. P_1 V || μέλλῃς] βούλῃ A || 2571—2572. καταστρ. μέλλ. P_1 V || 2572. φθεῖρε (φθείρε P_1) A P_1V || 2573. οἷα (οἵα P_1V) καὶ ὅσα A P_1V || οὐχ ἕξ. χρ.] οὐ χρήζεις A P_1 V || 2574. ἀναγκαῖα A || μετασοῦ W, μετά σου A || 2576. πάσας AP_1V || 2578. χρόνιζε MW || 2579—2580. φίλους [μᾶλλον] ἢ τοὺς ἐχθροὺς A P_1V.

23. ἂν δὲ μέλλῃς πολὺν χρόνον εἶναι ἀπληκευόμενος εἰς τὴν πολεμίαν γῆν, ἐκεῖνα καῦσον καὶ ἀφάνισον τῆς χώρας, ἅπερ οἶδας, ὅτι οὐκ ἔχει ὁ στρατὸς χρείαν αὐτῶν, τὰ δὲ ἀναγκαῖα καί, ὅσα οἶδας τῆς χρείας τοῦ στρατοῦ, φύλαττε εἰς δαπάνην αὐτῶν.

24. ὅταν δὲ ἔχῃς ἐν τῷ ἅμα ὅλον σου τὸν στρατόν, μήτε εἰς τὴν ἡμετέραν χώραν καθεζόμενος χρονίζῃς, μήτε εἰς ἄλλην χώραν ὑπήκοον καὶ ὑποτελῆ ἡμῶν οὖσαν. καταδαπανᾷς γὰρ τοὺς ἡμετέρους καρποὺς καὶ ζημιοῖς πλέον τοὺς ὁμοφύλους παρὰ τοὺς πολεμίους. ἀλλὰ μετάπιπτε γοργόν, ἂν οὐκ ἔχῃς φόβον περὶ τῆς ἡμετέρας χώρας παρὰ τῶν

598. ἐντιμίμα C.

γέτω δ' ὡς θᾶττον, ἐὰν ἀκίνδυνα ᾖ τὰ οἴκοι, τὰς δυνάμεις· ἐκ γὰρ τῆς πολεμίας, εἰ μὲν εἴη δαψιλὴς καὶ εὐδαίμων, τροφὴν ἕξει καὶ ⟨εὐπορίαν⟩ ἄφθονον, εἰ δὲ μή, τήν γε φιλίαν οὐ λυμανεῖται, πολλὰ δ' ὅμως καὶ ἀπὸ λυπρᾶς τῆς ἀλλοτρίας ἕξει πλεονεκτήματα.

Onas. Strat. X, 7. Σωφρονείτω δὲ περὶ τὰς προνομὰς καὶ μὴ ἐφιέτω τοῖς δυνάμεσιν, ἐπειδὰν εἰς εὐδαίμονα πολεμίων εἰσβάλῃ χώραν, ἀτάκτως φέρεσθαι πρὸς τὰς ὠφελείας· αἱ γὰρ μέγισται

CONSTITUTIO IX.

τοὺς πολεμίους. μετάγαγε δὲ αὐτὰς ταχύ, ἐὰν ἀκίνδυνά ἐστι τὰ τῆς οἰκείας χώρας, καὶ ἐπάγαγε ἐπὶ την
[p. 103. M.] πολεμίαν. καὶ γάρ, ἐὰν ἔστιν ἡ πολεμία δαψιλὴς καὶ | εὔκαρπος καὶ πλουσία, τροφὴν ἕξεις καὶ εὐπορίαν ἄφθονον, ἐὰν δὲ οὐκ ἔστι τοιαύτη, τὴν μὲν ἰδίαν σου καὶ φίλην χώραν οὐκ ἐρημώσεις, πολλὰ δὲ ὅμως καὶ ἀπὸ τῆς πολεμίας, εἰ καὶ μὴ λιπαρά ἐστιν, εὑρήσεις εἰς χρείαν τοῦ ὑπὸ σὲ στρατοῦ καὶ ἀναγκαῖα.

24. 25. Ἐν δὲ τῇ πολεμίᾳ γῇ μὴ ἀφίῃς τοὺς στρατιώτας ἀτάκτως φέρεσθαι πρὸς τὰς ὠφελείας. πολλάκις γὰρ

2580—2581. *ακίνδυνα εστι* **W** || **2581.** *ἐστι*] *ᾖ* **P₁ V** || *οἰκείας*] *ἰδίας* **A P₁ V** || **2582.** *εστιν* **W**, *ἐστὶν* **A**, *ᾖ* **P₁ V** || *δαψιλὴς καὶ* omm. **A P₁ V** || **2584.** *ουκέστιν* **W** || *ἔστι*] *ᾖ* **P₁ V** || *σοι* **A P₁ V** || **2586.** *λιπ. ἐστιν*] *πλουσία ἐστὶν* **A P₁ V** || **2587.** *ὑποσὲ* **W A** || *ἀναγκαία* **P₁ V** || **2588.** *ἀφήσεις* **A**, *ἀφήσῃς* **P₁ V** || **2589.** *ωφ.*] *ἁρπαγὰς* **A P₁ V**; in mge cod. **W** legitur: *πρὸς κουρας* (= curas), *προς συναγωγὴν τῶν χρειων.*

ἐναντίων, ἀφ' ἧς ἀποκινήσεις, καὶ ἔμβαινε εἰς τὴν πολεμίαν. καὶ γάρ, ἂν ὑπάρχῃ ἡ πολεμία πλουσία καὶ ἔχῃ καρπούς, εὑρεῖν ἔχεις τροφὰς καὶ εὐπορίαν πολλήν. εἰ δὲ οὐκ ἔστι τοιαύτη ἡ πολεμία, τὴν μὲν ἡμετέραν καὶ τὴν ὑπήκοον ἡμῶν χώραν τέως οὐκ ἐρημώ-
p. 30. Meurs. σεις. εἰς δὲ τὴν πολεμίαν εἰσερχόμενος, κἂν οὐχ ὑπάρχῃ || τοιαύτη λιπαρὰ καὶ πλουσία, ὅμως εὑρεῖν ἔχεις πολλὰ εἰς χρείαν τοῦ στρατοῦ σου.

603. 604. *οὐκ ἐστὶ* p || 604. *χώραν* post *ἡμετέραν* exhibet C || 605. *οὐκ* p || *ὑπάρχει* C.

συμφοραὶ κἂν τοῖς τοιοῖσδε γίγνονται· πολλάκις γὰρ . . . . ἐπιπεσόντες οἱ πολέμιοι . . . . . πολλοὺς διέφθειραν.

Onas. Strat. Cap. VI, 14. φροντιζέτω δὲ περί τε ἀγορᾶς καὶ τῆς τῶν ἐμπόρων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν παραπομπῆς, ἵν' ἀκινδύνου τῆς παρουσίας σφίσιν οὔσης ἀόκνως παρακομίζωσι τὸν εἰς τὰ ἐπιτήδεια φόρτον.

Onas. Strat. Cap. VII. 1. Ἐπειδὰν δ' ἤτοι διὰ στενῶν μέλλῃ

CONSTITUTIO IX.

ἐπιβουλευόμενοι παρὰ τῶν ἐχθρῶν μεγάλας βλάβας ὑπομενοῦσιν.

26. Φροντίσεις δὲ ἐν τῇ ἰδίᾳ γῇ ὁδοιπορῶν σὺν τῷ στρατεύματι τῆς τε ἀγορᾶς καὶ ἐμπορείας κατά τε γῆν, εἰ τύχοι, καὶ κατὰ θάλασσαν, ἵνα ἀκινδύνου τῆς παρουσίας αὐτοῖς οὔσης ἀόκνως καὶ ἀφόβως κομίζωσι τὸν εἰς τὰ ἐπιτήδεια φόρτον. 25.

27. Ὅτ' ἂν δὲ διὰ στενῶν τόπων μέλλῃς ποιεῖσθαι 26.

2591. ὑπομένουσιν **A,** ὑπομένουσι **P₁ V**; cf. XII, 35 || **2593.** ἐμπορίας **A P₁ V** || **2594.** τύχῃ **A P₁ V** || κατὰ omm. **P₁ V** || **2595.** Pro αὐτοῖς οὔσης **A P₁ V** οὔσης τοῖς πραγματευταῖς habent || κομίζωσι **P₁ V,** κομίζωσιν **A,** κομίζουσι **MW** || **2596.** τὰς χρείας ἐν τῷ στρατῷ **A P₁ V** || **2597.** §. 27.] Cff. „*Inedita Tactica Leonis*" c. XLIX, 6: *Διὰ στενῶν μὲν οὖν καὶ δυσδιεξόδων τόπων ἐς τὴν πολεμίαν γῆν ἐμβαλὼν ὁ στρατηγὸς μὴ πρότερον τῶν τούτων ἀπέστω τὸ σύνολον, πρὶν ἂν τῷ πεζικῷ στρατῷ κατοχυρώσειεν ἑαυτὸν καὶ δι' αὐτῶν τοὺς ἐπικαίρους ἐν ταῖς*

25. *πλὴν μὴ ἀφίῃς τοὺς στρατιώτας εἰς τὴν πολεμίαν γῆν, ἵνα ἀτάκτως ἐκβαίνωσιν εἰς κοῦρσα. πολλάκις γὰρ ἐπιβουλεύονται παρὰ τῶν ἐχθρῶν καὶ μεγάλας ὑπομένουσι βλάβας.*

26. *ὅταν δὲ περιπατῇς μετὰ τοῦ ||| στρατοῦ εἰς τὴν ἡμετέραν χώραν, φρόντιζε, ἵνα* c. 1241 **Lami.** *ἔρχωνται πραγματευταὶ καὶ φέρωσι χρείας πρὸς ἀγορὰν εἰς τὸν στρατόν, καὶ τῆς ξηρᾶς καὶ τῆς θαλάσσης, ὅταν εἰς παραθαλασσίαν περιπατῇς, εἰ ἄρα καὶ οὐκ ἔχουσι κίνδυνον ἀπὸ τῶν πολεμίων οἱ τοιοῦτοι πραγματευταί.*

27. *ὅταν δὲ μέλλῃς διαβαίνειν μετὰ τοῦ στρατοῦ εἰς ὀρεινοὺς τόπους καὶ στενοὺς καὶ*

610. *ἀγορὰς* p.

ποιεῖσθαι τὴν πάροδον ἢ δι᾽ ὀρεινῆς καὶ δυσβάτου χώρας ἄγειν τὸν στρατόν, ἀναγκαῖον προεκπέμποντά τι μέρος τῆς δυνάμεως προκαταλαμβάνεσθαι τάς τε ὑπερβολὰς καὶ τὰς τῶν στενῶν παρόδους, μὴ φθάσαντες οἱ πολέμιοι καὶ καταστάντες ἐπὶ τῶν ἄκρων κωλύσωσιν τὴν διεκβολὴν ποιεῖσθαι.

2. *τὸ δ᾽ αὐτὸ πεφροντίσθω, κἂν αὐτὸς δεδίῃ πολεμίων εἰσβολήν.*

CONSTITUTIO IX.

τὴν πάροδον ἢ διὰ ὀρεινῆς καὶ δυσβάτου χώρας πολεμίας παράγειν τὸν στρατόν, ἀναγκαῖον προεκπέμπειν σε μέρος τι τοῦ στρατεύματος καὶ προκαταλαμβάνεσθαι τὰς ὑπερβάσεις καὶ τὰς τῶν στενῶν παρόδους ἤγουν τὰς λεγομένας κλεισούρας, ἵνα μὴ φθάσαντες οἱ πολέμιοι καὶ σταθέντες ἐπὶ τῶν ἄκρων ἢ τῶν στενῶν κωλύσωσίν σε τὴν διάβασιν ποιήσασθαι ἢ κίνδυνον διὰ τῆς στενοπορίας ἐπαγαγεῖν τῷ στρατεύματι.

[p. 104. M.] *27.* 28. *Τὸ δὲ αὐτὸ φρόντιζε καὶ ὅτ᾽ ἂν αὐτὸς πεφόβησαι πολεμίων εἰσβολὴν εἰς τὴν ἰδίαν χώραν, ἵνα*

δυσχωρίαις προκαταλήψοιτο τόπους. || *ποιῆσθαι* **M** || **2598.** Post *δυσβάτου* inserunt *τόπου* **A** $\mathbf{P_1}$ **V** || **2598—2599.** *πολεμίας χώρας* **A** $\mathbf{P_1}$ **V** || **2599.** *προεκπέμπειν* **A** $\mathbf{P_1}$, *προὲκπέμπειν* **V**, *παρεκπέμπειν* **M W** || **2600.** *τί* **W** $\mathbf{P_1}$ **V** || **2602.** *φθάσαντες*] *προλαβόντες* **A** $\mathbf{P_1}$ **V** || **2604.** *κωλύσωσί* **A** $\mathbf{P_1}$ **V** || **2604—2605.** *τῷ στρατεύματι ἐπαγάγωσι διὰ* (*δια* **A**) *τὴν τοῦ τόπου στενότητα* **A** $\mathbf{P_1}$ **V** || **2606. 2607.** Omisso *πεφόβησαι* **A** $\mathbf{P_1}$ **V** post *χώραν* exhibent *προσδοκᾷς*.

δύσκολον χώραν, ἀναγκαῖόν ἐστιν, ἵνα προπέμπῃς μέρος ἐκ τοῦ στρατεύματος καὶ κρατῇς τὰ ὑπερβασίδια καὶ τὰς κλεισούρας πρὸς τὸ μὴ προλαβεῖν τοὺς πολεμίους καὶ σταθῆναι εἰς τὰ ἄκρα καὶ εἰς τὰ στενώματα, καὶ ἢ κωλύσωσί σε πάντως, ἵνα διαβῇς, ἢ κίνδυνος εἰς τὸν στρατόν σου γένηται.

28. *τὸ δ᾽ αὐτὸ ἵνα ποιῇς καὶ ὅταν ἔχῃς φόβον καὶ ὑποπτεύῃς ἐλθεῖν πολεμίους εἰς τὴν ἡμετέραν χώραν, καὶ προαποστέλλῃς στρατὸν καὶ κρατῇς τὰ στενώματα καὶ ἢ κωλύῃς*

614. *ἀναγκαῖον ἐστὶν* C || 615. *ὑπερπασίδια* p || 616. *-σι σὲ* C.

Onas. Strat. Cap. VI. [*Περὶ τοῦ ἄγειν ἐν τάξει τὸ στρατόπεδον*]. 1. *Ἀγέτω δὲ τὸ στράτευμα πᾶν ἐν τάξει, κἂν μήπω μέλλῃ συμβάλλειν, ἀλλὰ διὰ μακρᾶς ὁδοῦ *πορεύεσθαι καὶ πολλῶν ἡμερῶν ἀνύειν πορείαν, καὶ ἐν τῇ φιλίᾳ καὶ ἐν τῇ πολεμίᾳ· διὰ μὲν τῆς φιλίας, ἵν' ἐθίζηται τὰ στρατεύματα μένειν ἐν τάξει καὶ συμφυλάττειν τοὺς ἰδίους λόχους καὶ ἕπεσθαι τοῖς ἡγεμόσιν, διὰ δὲ τῆς πολεμίας πρὸς τὰς ἐξαίφνης ἐπιβουλὰς γιγνομένας, ἵνα*

CONSTITUTIO IX.

προκαταλάβῃς τὰ στενὰ τῆς ὁδοῦ καὶ κωλύσῃς τῶν πολεμίων τὴν εἴσοδον διά τινος ἀποστελλομένου στρατοῦ ἢ κακῶς διαθήσεις αὐτοὺς ἐν τῇ τῶν στενῶν διόδῳ.

29. *Ἐὰν δὲ διὰ μακρᾶς ὁδοῦ μέλλῃς πορεύεσθαι* 28. c. 776.
καὶ πολλῶν ἡμερῶν διανύειν πορείαν καὶ ἐν τῇ ἰδίᾳ χώρᾳ καὶ ἐν τῇ πολεμίᾳ, διὰ μὲν τῆς ἰδίας χώρας ἵνα ἐθίζῃς τὰ στρατεύματα μένειν ἐν τάξει καὶ συμφυλάττειν τοὺς ἰδίους λόχους ἤγουν τοὺς ὀρδίνους τῆς τάξεως καὶ ἀκολουθεῖν τοῖς ἄρχουσιν, ἵνα καὶ ἐν τῇ πολεμίᾳ πρὸς τάς, ὡς εἰκός, γινομένας ἐξαίφνης ἐπι-

2610. *ἢ*] **Meursius** *καὶ* voluit || *διαθήσεις;* cf. XI, 1 et *Preuschen* p. 530, vs. 48 || *παρόδῳ* **A P$_1$ V** || **2612.** *διανύειν πορείαν*] *ὁδὸν περιπατεῖν* **A P$_1$ V** || **2614.** *μένειν ἐν τάξει*] *ἐν τάξει* (*ἐντάξει* **P$_1$ V**) *περιπατεῖν* **A P$_1$ V** || **2614. 2615.** *φυλάττειν* **P$_1$ V** || **2617.** *γενομένας* **A.**

αὐτοὺς τελείως ἀπὸ τοῦ μὴ εἰσελθεῖν εἰς τὴν χώραν ἡμῶν ἢ καταπολεμῇς αὐτοὺς εἰς τὰ τοιαῦτα στενώματα.

29. *ἂν δὲ μέλλῃς ὑπάγειν μακρὰν ὁδὸν καὶ περιπατεῖν πολλὰς ἡμέρας, καὶ εἰς τὴν ἡμετέραν χώραν καὶ εἰς τὴν πολεμίαν ἵνα συνεθίζῃς τὰ στρατεύματα, ὅπως περιπατῶσιν ἐν τάξει, καὶ φυλάττειν τοὺς ὀρδίνους τῆς συντάξεως αὐτῶν καὶ ἀκολουθεῖν τοῖς ἄρχουσιν |* fol. 12r
αὐτῶν, ἵνα καὶ εἰς τὴν πολεμίαν, εἴπερ ἔλθωσι πολέμιοι, μὴ θορυβῆται ὁ στρατὸς καὶ

623. 624. Verba *περιπατῶσιν ἐν* in C ita scripta, ut pro *περιπατῶσι σὺν*] possint legi.

μὴ ἐν ὀξεῖ καιρῷ θορυβούμενοι καὶ ἐπαναθέοντες καὶ ἄλλοι πρὸς ἄλλους φερόμενοι μηδὲν μὲν ἀνύσωσι φθασθέντες, πολλὰ δὲ καὶ δεινὰ πάθωσιν, ἀλλ' ἅμα καὶ εἰς πορείαν ὦσιν ἐπιδέξιοι καὶ εἰς μάχην εὐτρεπεῖς, ἔχοντες καὶ τὸ σύνθημα καὶ ἀλλήλους ἐν τάξει βλέποντες. 2. *συστέλλειν δὲ πειράσθω τὴν πορείαν τοῦ στρατεύματος, ὡς ἔνι μάλιστα, πρὸς ὀλίγον, καὶ διὰ τοιούτων, ἂν δυνατὸν*

CONSTITUTIO IX.

βουλὰς μὴ ἐν ἀθρόῳ καιρῷ καὶ ὀξέως ἐπιγινομένῳ θορυβοῦνται καὶ ἐπιτρέχωσι καὶ ἄλλοι πρὸς ἄλλους φέρωνται, καὶ διὰ τοῦτο μηδὲν μὲν βοηθεῖν δύνανται, πολλὰ δὲ κακὰ ἢ καὶ δι' ἑαυτῶν ἢ καὶ διὰ τῶν πολεμίων πάθωσιν, ἀλλ' ἵνα διὰ τοῦ ἐθισμοῦ τῆς εὐταξίας καὶ εἰς πορείαν ὦσιν ἐπιδέξιοι καὶ εἰς μάχην εὐτρεπισμένοι, ἔχοντες καὶ σημεῖόν τι καὶ ἀλλήλους ἐν τάξει βλέποντες.

29. 30. *Τὴν δὲ πορείαν τοῦ στρατεύματος ὀλίγην ποιεῖσθαί σε δεῖ, καὶ διὰ τοιούτων χωρίων διαβίβαζε*

2618. *ἐπιγενομένω* **P_1** || **2619.** *θορυβῶνται* **AP_1V** || *ἐπιτρέχουσιν* **W**, *ἐπιτρέχουσι* **M** || **2620.** *φέρονται* **MWP_1V** || *δύνωνται* **AP_1V** || **2623.** *εἰσὶν* **MWA** || **2623. 2624.** *εὐτρεπισμένοι*] *ἕτοιμοι* **AP_1V** || **2624.** *σημεῖον τι* **MW** || **2627.** *ποιεῖσθαι* **WP_1V** || *χ.*] *τόπων* **AP_1V.**

τρέχωσιν ἄλλοι πρὸς ἄλλους καὶ παραβάλωσι τὴν σύνταξιν αὐτῶν. ἐκ τούτου γὰρ οὐ
p. 31. **Meurs.** *μόνον οὐδὲν δύνανται βοηθεῖν ἀλλήλοις, ἀλλὰ καὶ πολλὰ κακὰ πάσχωσιν || οὐ μόνον δι' ἑαυτῶν, ἀλλὰ καὶ διὰ τῶν πολεμίων. ἂν δὲ συντάξῃς αὐτοὺς τοῦ περιπατεῖν μετὰ τάξεως, εἰσὶ καὶ εἰς τὴν ὁδὸν ἐπιδέξιοι καὶ εἰς τὸν πόλεμον ἕτοιμοι, ἔχοντες καὶ σημάδιόν τι καὶ βλέποντες πρὸς ἀλλήλους.*

30. *τὴν δὲ ὁδὸν τοῦ στρατοῦ ἵνα ποιῇς ὀλίγην, καὶ εἰς τοιούτους τόπους διαβίβαζε τὰς παραταγάς, εἰς οὓς οὐ συντρίβονται καὶ στενοχωροῦνται. ὀφείλουσι γὰρ ἔχειν πλάτος*

626. *παραλάβωσι* C p || 629. *-ον τὶ* C || 630. *παραλλήλους* p.

ἢ, χωρίων ἀγέτω τὰς τάξεις, δι' ὧν οὐκ ἂν ἐκθλιβόμεναι στεναὶ καὶ οὐκ ἔχουσαι πλάτος ἐκ πλευρᾶς ἐπὶ μήκιστον ἐκταθεῖεν· 3. καὶ γὰρ εὐπαθέστεραι γίγνονται πρὸς τὰς αἰφνιδίους τῶν πολεμίων ἐπιφανείας. αἱ τοιαῦται καὶ ἥκιστα δραστήριοι· ἄν τε γάρ σφίσι κατὰ μέτωπον ὑπαντήσωσιν οἱ πολέμιοι πλατύτεροι τεταγμένοι, ῥᾳδίως αὐτοὺς τρέπονται, καθάπερ οἱ τοὺς ἐπὶ κέρως ὄντας ἐν ταῖς

CONSTITUTIO IX.

τὰς τάξεις, δι' ὧν οὐ συνθλιβήσονται, οὐκ ἔχουσαι πλάτος, ὥστε ἐκ πλευρᾶς ἐπὶ μῆκος ἐκταθῆναι. εὐεπιβούλευτοι γὰρ γίνονται πρὸς τὰς αἰφνιδίους τῶν πολεμίων ἐπιφανείας· αἱ τοιαῦται καὶ μᾶλλον οὐκ ἔχουσαι [p. 105. M.] τὸ δραστήριον.

31. Ἐὰν γὰρ αὐτοῖς ἀπὸ ἔμπροσθεν ἀπαντήσωσιν 30. οἱ πολέμιοι πλατύτεροι τεταγμένοι, εὐκόλως αὐτοὺς τρέπονται, καθάπερ οἱ ἐπὶ τῆς μάχης αὐτῆς εὐκαίρως κυκλοῦντες τοὺς ⟨ἐπὶ κέρως⟩ ἐναντίους.

2630. *προστασαιφνηδίους* **W** || **2631—2632.** Pro *μᾶλλον . . . δραστήριον* **AP_1V** *ἀνενέργητοι* habent || Ad *οὐκ ἔχουσαι* hoc scholium extat in mge cod.-is **W**: *ἤγουν διατὰ στενωματα οὐκέχουσι το κατα τῶν ἐχθρῶν ενεργειν* || **2635.** *τρέπονται*] *κυκλώσαντες τρέπουσιν* **AP_1V** || **2635.** *ἐπὶ κέρως* ex Onasandro inserui habentibus **AP_1V** *τὸ τῶν ἐναντίων κέρας κυκλοῦντες.*

πρὸς τὸ δύνασθαι ἐξαπλωθῆναι τὰς πλευρὰς αὐτῶν εἰς μῆκος καὶ γένηται τὸ μέτωπον αὐτῶν περισσότερον. τοῦτο γὰρ μεγάλα βλάπτη τὸ περιπατεῖν τὰς παραταγὰς εἰς στενοὺς τόπους, εἰς οὓς οὐ δύνανται ἁπλῶσαι τὰς παραταγὰς αὐτῶν, καὶ ἀνενέργητοι γίνωνται, ἂν ἄρα καὶ φανῶσιν ἐξαίφνης πολέμιοι.

31. καὶ γὰρ ἂν ἀπαντήσωσιν αὐτοῖς ἀπὸ τῶν ἔμπροσθεν οἱ πολέμιοι εὐρυχωρότερα παρατεταγμένοι, εὐκόλως αὐτοὺς κυκλώσαντες τρέπωσιν, ὥσπερ ποιοῦσιν εἰς τὸν πόλεμον οἱ ὑπερκερασταί, κυκλοῦντες τὸ ἄκρον τῆς παραταγῆς τῶν πολεμίων.

633. *πρὸς* om. p || 634. *βλάπτει* C || 635. *γίνονται* C || 636. *φαίνωσιν* p || 638. *τρέπουσιν* C.

μάχαις κυκλούμενοι, ἄν τε κατὰ μέσην τὴν δύναμιν ἐκ πλευρᾶς ἐπιβάλωσι, ταχὺ διέσπασαν αὐτῶν τὴν πορείαν καὶ διέκοψαν — ἐπιστρεψάντων γὰρ αὐτῶν εἰς φάλαγγα πρὸς ἄμυναν ἀσθενὴς ἡ μάχη γίνεται καὶ οὐκ ἔχουσα βάθος, — ἐάν τε τοῖς κατόπιν, ἡ κατὰ νώτου μάχη ὁμοίως καὶ προφανῆ ποιεῖται τὸν ὄλεθρον ὡσαύτως οὐκ ἔχουσα βάθος, κἂν ἐπιστρέψαι δὲ τολμήσωσιν εἰς μέτωπον, ἡ αὐτὴ γίνεται μάχη τοῖς ἐν τῇ πρωτοπορείᾳ τεταγμένοις· ταχὺ γὰρ αὐτοὺς περιστήσονται.

CONSTITUTIO IX.

31. 32. Ἐὰν δὲ κατὰ μέσην τὴν δύναμιν ἐκ πλευρᾶς ἐπιβάλωσι, ταχὺ διιστῶσιν αὐτῶν τὴν πορείαν καὶ διακόπτουσιν. ἐὰν γὰρ ἐπιστρέψωσι πρὸς φάλαγγα οἱ ὁδοιποροῦντες, ὥστε ἀντιπαρατάξασθαι, ἀσθενὴς ἡ μάχη γίνεται καὶ οὐκ ἔχουσα πάχος.

32. 33. Ἐὰν δὲ ἀπὸ ὄπισθεν ἐπιφανῶσι, προφανὴς γίνεται ὁ ὄλεθρος ὁμοίως τοῖς ἐν τῷ ἔμπροσθεν τῆς πορείας τεταγμένοις.

2638. *ἐπιβάλωσιν* **W**, *ἐφορμήσωσιν* **A**, *ἐφορμήσωσι* **P₁**, *ἐφορμίσωσι* **V** || *διιστῶσιν*] *διακόπτουσιν* **A P₁ V** || **2638—2639.** *καὶ διακόπτουσιν* omm. **A P₁ V** || **2640.** Post *ἀντιπαρατάξασθαι* **A P₁ V** inserunt: *τοῖς ἐκ πλαγίου ἐπερχομένοις* || **2641.** Pro *καὶ οὐκ ἔχουσα πάχος* **A V** *διὰ τὸ λεπτὴν εἶναι τὴν παράταξιν καὶ βάθος μὴ ἔχειν* habent; **P₁** idem habet exceptis verbis *βάθος μὴ ἔχειν* || *πάχος*] quoad sensum, idem dicit Onasander; cf. XII 40 || **2642.** **P₁** om. verba *Ἐὰν . . . . γίνεται* || *ἐπιφανῶσιν* **W A** || **2643.** *ὁ* omm. **M W A.**

32. *καὶ πάλιν ἂν ἐπιπέσωσιν ἐκ πλαγίου εἰς τὴν μέσην αὐτῶν, ταχέως διακόπτουσι τὴν ὁδόν. καὶ γὰρ ἂν ἐπιστραφῇ τὴν ὁδὸν ταύτην ὁ στρατός, ἣν ἔτι περιπατεῖ, πρὸς τὸ παρατάξαι καὶ πολεμῆσαι πρὸς τοὺς ἐλθόντας ἐκ πλαγίου, οὐκ ἔχει πάχος ἡ παραταγή, καὶ ἔστιν ἀδύνατος.*

33. *ἂν δὲ ὄπισθεν φανῶσιν οἱ ἐχθροί, φανερὰ γίνεται ὁμοίως ἡ κατάλυσις, ὥσπερ εἴπομεν, καὶ ἂν ἀπαντήσωσιν ἀπὸ τῶν ἔμπροσθεν ἐχθροί, οὕτω γίνεται.*

641. *ἣν*] *ὡς* **C p**; cf. §. 19. || **643.** *καὶ ἐστὶν* **p** || **644.** *ἂν*] *εἰ* **C p** || *ὁμοίως ὡς* **p**.

4. συμβαίνει δὲ καὶ τὰς παραβοηθείας δυσχερεῖς καὶ ἀπράκτους γίνεσθαι· τῶν γὰρ ἀπὸ τῆς οὐραγίας τοῖς εἰς τὴν πρωτοπορείαν βουλομένων βοηθεῖν ἢ τῶν πρώτων τοῖς κατόπιν βραδεῖα ἡ ἄφιξις καὶ οὐ κατὰ καιρὸν γίνεται, διὰ πολλῶν, ὧν ὑστεροῦσιν ἢ προηγοῦνται, σταδίων ἰέναι προθυμουμένων. 5. ἡ δὲ συνεσταλμένη πορεία καὶ τετράγωνος ἡ μὴ πάνυ παραμήκης εἰς πάντα καιρὸν εὐμετα-

CONSTITUTIO IX.

34. Συμβαίνει δὲ καί, ἐάν τις παραβοήθεια γένηται, 33.
δυσχερῆ καὶ ἄπρακτον αὐτὴν γενέσθαι. τῶν γὰρ ἀπὸ ὄπισθεν τοῖς ἔμπροσθεν βουλομένων βοηθεῖν ἢ καὶ πάλιν τῶν ἔμπροσθεν τοῖς εἰς τὸ ὄπισθεν, βραδεῖα ἡ ἔλευσις καὶ οὐ κατὰ καιρὸν δύναται γίνεσθαι.

35. Ἡ δὲ συνεσταλμένη πορεία καὶ τετράγωνος, ἡ 34.
παραμήκης μέν, μὴ πάνυ δὲ τοῦτο ἔχουσα τὸ σχῆμα, ἀλλὰ σύμμετρον, εἰς πάντα καιρὸν [ὠφέλιμός] ἐστι καὶ εὐμεταχείριστος καὶ ἀσφαλής.

2645. παρὰ βοήθειαν **P₁ V** || **2646.** δυσχερῆ καὶ omm. **A P₁ V** || αὐτὴν γενέσθαι] αὐτὸν εἶναι καὶ ἀνενέργητον **A P₁ V** || **2647.** τοῖς] τῶν **M** || καὶ omm. **M W** || **2648.** βραδεία **P₁ V** || **2649.** Pro verbis καὶ οὐ . . . . γίνεσθαι **A P₁ V** habent: καὶ οὐκ ἐν τῷ ἁρμόζοντι καιρῷ διὰ (δια **A**) τὸ ἐπιπολὺ (ἐπὶ πολὺ **A**) ἐπεκταθῆναι τὴν παράταξιν ὥσπερ εἴρηται || **2650.** ἡ] ἢ **A P₁ V** || **2652.** Loco vocabuli ὠφέλιμος spatium in **M W**; habet **Meursii** codex || χρήσιμός ἐστι (-ος ἐστὶ **P₁ V**) **A P₁ V** || ἔστιν **M**, εστιν **W** || **2653.** εὐμετακίνητος **A P₁ V**.

---

34. συμβαίνει δέ καί, ἂν θέλωσι παραβοηθῆσαί τινες, οὐ δύνανται ἐνεργῆσαί τι. βραδύνουσι γὰρ οἱ ἔμπροσθεν, ἕως οὗ στραφῶσι πρὸς βοήθειαν τῶν ὄπισθεν.

35. ὅταν δὲ περιπατῇ συνεσφιγμένος καὶ τετράγωνος ὁ στρατός, ἢ ἵνα ἔχῃ τὸ πάχος ὀλίγῳ περισσότερον, πλὴν ἵνα μὴ ἔχῃ πολὺ περισσότερον, ἀλλὰ σύμμετρον, εὐμετακίνητός ἐστι πάντοτε καὶ ἀσφαλής.

640. -σαι τινές C p || -σαι τί C.

*χείριστός ἐστι καὶ ἀσφαλής. ἔστι δ' ὅτε καὶ συνέβη τι τοιοῦτον ἐκ τῶν ἐκτεινομένων στρατευμάτων, ὥστε Πανικὰ καὶ πτοίας ἀμφιδόξους ἐμπίπτειν· ἐνίοτε γὰρ οἱ πρῶτοι καταβεβηκότες ἐξ ὀρεινῶν εἰς ψιλὰ καὶ επίπεδα χωρία (θεασάμενοι τοὺς κατόπιν ἐπικαταβαίνοντας) ἔδοξαν εἶναι πολεμίων ἔφοδον, ὥστε * σπεῦσαι προσβάλλειν ὡς ἐχθροῖς, τινὰς δὲ καὶ εἰς χεῖρας ἐλθεῖν ἤδη. 6. λαμβανέτω δὲ*

CONSTITUTIO IX.

36. *Ἐὰν γὰρ εἰς πάνυ στενοὺς τόπους διαβαίνῃ τὸ στράτευμα ἐπιπολὺ λεπτυνομένης καὶ ἐπεκτεινομένης*
35. *τῆς παρατάξεως, πολλάκις καὶ εἰς ἀμφιβολίας ἐμπίπτουσιν, ὅτ' ἂν οἱ πρῶτοι καταβάντες ἀπὸ ὀρεινῶν τόπων εἰς ἐπίπεδα χωρία (θεασάμενοι γὰρ τοὺς ὀπίσω ἐπι⟨κατα⟩βαίνοντάς) ἔδοξαν εἶναι πολεμίων ἐπέλευσιν,*
[p. 106. M.] *ὥστε σπεῦσαι προσβάλλειν ὡς ἐχθροῖς, τινὰς δὲ καὶ εἰς χεῖρας ἐλθεῖν κατ' ἀλλήλων παρὰ μικρόν.*
36. 37. *Λάμβανε δὲ καὶ τάττε τὸ τοῦλδον ὅλον, τὴν*

2654—2656. Verba *ἐὰν . . . παρατάξεως* exciderunt ex archetypo codd. **M W**; post *πολλάκις* librarii pro *καὶ* inseruerunt *γὰρ* || *διαβαίνει* **P₁** || **2655.** *ἐπὶ πολὺ* **V** || **2656.** *ἀμφιβολίαν* **A P₁ V** || **2657.** *ὅτ' ἂν*=*ἐὰν* || **2658.** *εἰς ἐπίπεδα χωρία*] *εἰς ὁμαλοὺς τόπους* **A P₁ V** || *θεασάμενοι γὰρ*] *θεάσωνται* **A P₁ V** || *τοὺς ὀπίσω αὐτῶν* **A P₁ V** || **2659.** *ἐπικαταβαίνοντας* ego, *ἐπιβαίνοντες* **M W**, *κατερχομένους* **A P₁ V** || *ἔδοξαν γὰρ εἶναι* **A P₁ V**; postea inserunt *πολλάκις* || *πολεμίαν* **M**; cf. IX 40 || **2660.** *σπευσαι* **W**, cf. IX 64, *σπουδάσαι* **A P₁ V** || *προσβάλλειν* ego, *προσβαλεῖν* codd. || **2662.** *τάσσε*

p. 32. **Meurs.** c. 1244 **Lami.** 36. *ἐπειδή, ὅτε περιπατεῖ ἡ παραταγὴ εἰς στενοὺς || τόπους καὶ οὐ χωρεῖται, ἀλλ' ἐλεπτύνθη πολύ, καὶ ὥσπερ ῥαδίως ἐμπίπτουσι πολλάκις καὶ εἰς ἀμφι|||βολίας, συμβαίνει δὲ τοὺς περιπατοῦντας ἔμπροσθεν, ἵνα καταβῶσιν ἀπὸ ὀρεινῶν καὶ ὑψηλῶν τόπων εἰς ἐπίπεδα καὶ θεωρῶσι τοὺς ὀπίσω ἐρχομένους καὶ νομίζωσιν, ὅτε εἰσὶ πολέμιοι, καὶ ὁρμῶσι πολλάκις πρὸς αὐτούς, τινὲς δὲ παρ' ὀλίγον καὶ εἰς χεῖρας ἦλθον πρὸς ἀλλήλους.*

651. 652. *ἀλλ' ἐλεπτύνθη* ego, *ἀλλὰ λεπτυνθῇ* **C p** || 652. *ῥαδίως* **Meurs.**, *ῥαδίσῃ* **C p** || 654. *ἐπιπέδια* **p** || *θεωροῦσι* **C** || *νομίζουσιν* **C** || 655. *παρ' ὀλίγων* **p**.

τὴν θεραπείαν καὶ τὰ ὑποζύγια καὶ τὴν ἀποσκευὴν ἅπασαν ἐν μέσῃ τῇ δυνάμει καὶ μὴ χωρίς· ἂν δὲ μὴ τὰ κατόπιν ἀσφαλῆ πάνυ καὶ εἰρηναῖα νομίζῃ, καὶ τὴν οὐραγίαν ἐκ τῶν ἐρρωμενεστάτων καὶ ἀνδρειοτάτων συνιστάσθω, μηδὲν διαφέρειν αὐτὴν οἰόμενος πρὸς τὰ συμβαίνοντα τῆς πρωτοπορείας. 7. προπεμπέτω δ' ἱππεῖς τοὺς διερευνησομένους τὰς ὁδούς, καὶ μάλισθ', ὅτ' ἂν ὑλώδεις καὶ

CONSTITUTIO IX.

τε δουλείαν καὶ τὰ σαγμάρια καὶ τὴν ἀποσκευὴν ἅπασαν ἐν μέσῃ τῇ δυνάμει.

38. Ἐὰν δὲ καὶ ἀπὸ ὄπισθεν ὑφορᾶσαι ἔφοδόν 37. c. 777.
τινων, ποίησον καὶ τοὺς νωτοφύλακας ἰσχυροὺς ὁμοίως τῶν ἔμπροσθεν τεταγμένων ἐν τῷ μετώπῳ τῆς πορείας, ὥστε μηδὲν διαφέρειν τοὺς ὀπίσω τῶν ἔμπροσθεν πρὸς τὰ εἰκὸς συμβαίνοντα.

39. Ἀποστείλῃς δὲ καί τινας καβαλλαρίους, τοὺς 38.
μέλλοντας διερευνῆσαι τὰς ὁδούς, καὶ μάλιστα, ὅτ' ἂν

A, κατὰ σὲ P_1V || **2665.** ὑφορασαι **W**, ὑφωρᾶσαι P_1V; cf. *Psaltes* p. 209, *Blass-Debrunner*[4] p. 51 || **2665—2666.** ἔφοδον τινῶν **MW**, ἔφοδον πολεμίων AP_1V || **2666.** ὁμοίους **W**P_1 || **2667.** τῶν] cf. *Blass-Debrunner*[4] p. 109; τοῖς **Meursii** codex: cf. VII 11, IX 33 || τεταγμένοις **Meursii** codex || **2668.** μὴ δὲν **W** || **2668—2669.** Pro πρὸς τὰ εἰκὸς συμβαίνοντα AP_1V κατὰ δύναμιν habent || **2670.** ἀποστείλεις **M**, ἀποστείλλεις **W**; cf. *Psaltes* p. 245. n. || καβαλλαρίους τινὰς AP_1V || **2671—2672.** ὅτ' ἂν δασείας διοδεύῃς ἐρημίας καὶ περικεκλεισμένας (περικεκλεισμένοις P_1V) βουνοῖς ἢ ὄρεσι AP_1V.

37. τὸ δὲ τοῦλδον ὅλον, οἱ ὑπουργοὶ τοῦ στρατοῦ καὶ τὰ σαγμάρια καὶ ἡ ἀποσκευὴ | fol. 12v
πᾶσα, ὀφείλουσι περιπατεῖν εἰς τὴν μέσην τῶν παραταγῶν.

38. ἂν δὲ καὶ ἀπὸ τῶν ὄπισθεν ὑποπτεύῃς πολεμίους, ποίησον καὶ τοὺς ὀπισθοφύλακας ἰσχυροὺς ὁμοίως τῶν περιπατούντων ἔμπροσθεν εἰς τὸ μέτωπον τῆς παραταγῆς, ἵνα ὑπάρχῃ ὁμοία δύναμις καὶ ἔμπροσθεν καὶ ὄπισθεν διὰ τὰ πολλάκις συμβαίνοντα.

39. ἵνα δ' ἀποστείλῃς καὶ καβαλλαρίους τινάς, τοὺς μέλλοντας ἐρευνῆσαι τὴν ὁδόν,

* περικεκλεισμένας λόφοις ἐρημίας διεξίῃ· πολλάκις γὰρ ἐνέδραι πολεμίων ὑποκαθέζονται, καὶ λαθοῦσαι μὲν ἔστιν, ὅτε τὰ ὅλα συνέτριψαν τῶν ἐναντίων πράγματα, μὴ λαθοῦσαι δὲ κ. τ. λ. 8. τὴν μὲν γὰρ πεδιάδα καὶ ψιλὴν ἡ πάντων ὄψις ἱκανὴ προερευνήσασθαι· καὶ γὰρ κονιορτὸς ἀναφερόμενος μεθ' ἡμέραν ἐμήνυσε τὴν τῶν πολεμίων ἔφοδον καὶ πυρὰ καιόμενα νύκτωρ ἐπύρσευσαν τὴν ἐγγὺς στρατοπεδείαν. 9. ἀγέτω δὲ τὰς δυνάμεις, μὴ μέλλων μὲν ἐκτάξειν εἰς

CONSTITUTIO IX.

ὑλώδεις καὶ περικεκλεισμένας βουνοῖς ἢ ὄρεσι διοδεύῃς ἐρημίας. πολλάκις γὰρ ἐγκρύμματα πολεμίων ὑποκαθέζονται καὶ λαθόντα τάχα τὰ ὅλα πράγματα συντρίβουσι τῶν ἐναντίων.

39. 40. Τὴν μὲν γὰρ πεδιάδα γῆν οἱ πάντων ὀφθαλμοὶ περιβλεπόμενοι εὐκόλως διερευνῶσι. καὶ γὰρ ἐν ἡμέρᾳ κονιορτὸς ἀναφερόμενος πολλάκις μηνύει τὴν ἐπέλευσιν τῶν πολεμίων καὶ πυρὰ καιόμενα νυκτὸς ὑπέλαμψε καὶ ὑπέδειξε τοὺς πολεμίους.

2672. διοδεύεις **MW** || 2673. 2674. ὑποκαθέζονται ego ex Onasandro, ἐπικαθέζονται (ἐπικ. **W**) codd. || 2674. 2675. συντρίβουσιν **A** || 2675. τῶν ἐναντίων omm. **AP$_1$V** || 2676. Pro Τὴν .... γῆν **AP$_1$V** τοὺς μὲν ὁμαλοὺς καὶ δένδρα μὴ ἔχοντας τόπους exhibent || πεδίαδα **W** || 2677. περιβλέπουσι (-σιν **A**) **AP$_1$V** omissis verbis εὐκόλως διερ. || διερευνῶσιν **W** || 2679. καιομένη **AP$_1$V** || ἐπέλαμψε **P$_1$V.**

κατεξαίρετον, ὅταν περιπατῇς εἰς τόπους ἐρήμους, ἔχοντας δάση καὶ ἔνθεν καὶ ἐκεῖθεν βουνοὺς ἢ ὄρη. καθέζονται γὰρ ἐκεῖ πολλάκις ἐγκρύμματα πολεμίων καὶ λανθάνουσι καὶ συντρίβουσι τὰ πράγματα.

40. καὶ γὰρ τοὺς πεδινοὺς τόπους οἱ πάντων ὀφθαλμοὶ περιβλέποντες εὐκόλως ἐρευνῶσιν, ἐπειδὴ τὴν ἡμέραν θεωροῦσι πολλάκις κονιορτόν, καὶ νοοῦσιν, ὅτι ἔρχονται πολέμιοι, καὶ τὴν νύκτα πάλιν βλέπουσι καὶ νοοῦσιν, ὅτι εἰσι πολέμιοι ὁμοίως.

662. κατ' ἐξαίρετον p || δάσην C || 665. ὀφθαλμοὶ πάντων Cp || 667. ὅτι εἰσὶ Cp.

μάχην, μεθ᾿ ἡμέραν, ἐὰν δὲ ἐπείγηταί τι φθάνειν συντομώτερον, εἰ ἀσφαλὲς εἶναι νομίζοι, καὶ νύκτωρ· μέλλων δὲ κρίνειν ἅμα τῷ σύνοπτον γενέσθαι τοῖς πολεμίοις εὐθὺς τὰ πράγματα διὰ μάχης σχολῇ προΐτω καὶ μὴ πολλὴν ἀνυέτω· πολλάκις γὰρ πρὸ τῶν κινδύνων ὁ κόπος ἐδαπάνησε τὴν ἀκμὴν τῶν σωμάτων.

CONSTITUTIO IX.

41. *Καὶ ἐὰν μὲν οὐ μέλλῃς ἐκτάσσειν εἰς μάχην τὰς* 40.
δυνάμεις, ἄγε αὐτὰς ἐν ἡμέρᾳ μόνον. ἐὰν δὲ ἐπείγεσαι καὶ σπουδάζῃς φθάνειν συντομώτερον, ἄγε αὐτὰς καὶ ἐν νυκτί, ἐὰν ἄρα ἀσφαλὲς εἶναι τοῦτο νομίζῃς.

42. *Καὶ πρὸ μὲν τοῦ καιροῦ τῆς μάχης μετὰ ἀνέ-* 41.
σεως καὶ σχολῆς προέρχου. | ἐπὰν δὲ τοῖς πολεμίοις [p. 107. M.]
ἐμφανισθῇς, εὐθὺς ἐπιβαλοῦ, καλῶς προεκτάξας τὴν δύναμιν. πολλάκις γὰρ πρὸ τοῦ συμβάλλειν τὸν πόλεμον ὁ [περὶ τοῦτον] κόπος εἰς δειλίαν ἄγει καὶ τοὺς

2681. *μέλλῃς*] *βούλῃ* **AV** *βούλει* **P_1** || *παρατάσσειν* **AP_1V** || **2682.** *ἐπείγεσαι*] cf. *Blass-Debrunner*[4] p. 50, § 87. *Helbing* p. 61. *Mayser* p. 328. *Hatzidakis* p. 188, *Psaltes* p. 209 || **2684.** *ἄρα* **MW** || **2686.** *σχολῆς*] *ἀργίας* **AP_1V** || *ἐπὰν* **W**, *ἐπειδὰν* **A**, *ἐπειδ᾿ ἂν* **P_1V** || **2688.** *πρὸ τοῦ*] *ἐὰν ἐμβραδύνῃς* **AP_1V** || *συμβαλεῖν* **AP_1V** || **2689.** *ὁ περὶ τοῦτον κόπος* omm. **AP_1V** || *περὶ τοῦτον* seposui || *κόπος* ego, *σκοπὸς* **MW**; cf. IX, 55, app. crit. || **2689—2691.** Pro *ἄγει* . . . .

41. *καὶ σύ, εἰ μὲν οὐ σπουδάζεις ποιῆσαι πόλεμον, περιπάτει μετὰ τοῦ στρατοῦ τὴν ἡμέραν μόνον· εἰ δὲ σπουδάζεις καὶ θέλεις φθάσαι συντομώτερον, περιπάτει καὶ τὴν νύκτα, ἂν ἄρα καὶ γινώσκῃς, ὅτι ἐστιν ἀσφαλές.*

42. *καὶ πρὸ μὲν τοῦ καιροῦ [καὶ] τῆς μάχης μετ᾿ ἀνέσεως καὶ ἀργίας περιπάτει. ἀφ᾿ οὗ δὲ ἐμφανισθῇς εἰς τοὺς πολεμίους, παραυτὰ σύμβαλλε πόλεμον πρὸς αὐτούς, πλὴν καλῶς ||* p. 33. Meurs.
παρατάξαι πρῶτον. διὰ τοῦτο δὲ ἁρμόζει συμβάλλειν παραυτίκα τὸν πόλεμον, ἀφ᾿ ἧς ἂν

668. *συ* p || *σπουδάζῃς* p || 670. *ὅτι ἐστὶν* C p || 671. *καὶ* seclusi || *ἀφέσεως* C p || 672. *δὲ*] *γὰρ* p || *σύμβαλε* C || 673. *παράταξαι* C || *συμβαλεῖν* C.

Urbicii IX, 4. *Περὶ διαβάσεως τῶν στενῶν καὶ δυσβάτων τόπων.* 1. *Εἰς δασεῖς καὶ δυσβάτους τόπους ἐπὶ πολλῷ διαστήματι ἐκτεταμένους κατεξαίρετον πεζοῖς οὐ δυσχερὲς διάβασιν ποιεῖσθαι. ⟨τοὺς δὲ⟩ καβαλλαρίους ἐν χώρᾳ ἐχθρῶν ἐν καιρῷ θέρους μάλιστα ἀπερισκέπτως καὶ ὡς ἔτυχεν οὐκ ἐπιτρέπομεν ἀνάγκης χωρὶς ⟨διάβασιν ποιεῖσθαι.⟩ εἰ μὲν *οἱ τόποι πεζοῖς ⟨οὐ⟩ δύσβατοί*

CONSTITUTIO IX.

ἀνδρείους καὶ δαπανᾷ τῇ μερίμνῃ τὴν δύναμιν τῶν σωμάτων.

42\. 43. *Τοὺς δὲ στενοὺς καὶ δυσβάτους τόπους ἐπὶ πολὺ διάστημα ἐκτεταμένους ἐν χώρᾳ ἐχθρῶν κατεξαίρετον οἱ πεζοὶ διαβαίνειν οὐ δυσχερῶς ἔχουσι. περὶ τούτων δὲ μετ᾽ ὀλίγον ἐροῦμεν.*

43\. 44. *Τοὺς δὲ καβαλλαρίους ἐν τῇ χώρᾳ τῶν πολεμίων ἐν καιρῷ θέρους μάλιστα ἀπερισκέπτως καὶ ὡς ἔτυχε διαβαίνειν οὐκ ἐπιτρέπομεν χωρὶς ἀνάγκης. ἐὰν δέ ἐστιν*

σωμάτων **A P_1 V** habent : *ἔρχονται οἱ ἀνδρεῖοι, καὶ ὁ ἀγὼν καὶ ἡ μέριμνα τὴν δύναμιν δαπανᾷ τῶν σωμάτων* || **2692.** *ἐπιπολὺ* **M W P_1** || **2693.** *ἐκτειαμμένους* **W** || **2694.** *ἔχουσιν* **W A** || **2696.** §. 44] Cff. „*Inedita Tactica Leonis*" c. XLIV, 6: *ἱππικῷ δὲ καὶ μόνῳ στρατῷ τὰς τοιαύτας ὁδοὺς ἐκκλίνειν πᾶσι τρόποις παρεγγυώμενα καὶ μάλιστα κατὰ τὸν τοῦ θέρους καιρὸν διὰ τὴν ἐκ τῶν φύλλων δασύτητα, εἰ μὴ ἄρα μεγίστη κατεπείγῃ ἀνάγκη.* || **2698.** *δὲ εστιν* **W**, *δέ ἐστι* **A**, *δὲ ᾖ* **P_1 V.**

ἴδωσί σε οἱ πολέμιοι, ἐπειδὴ πρὸ τοῦ μῖξαι τὸν πόλεμον ἡ περὶ αὐτοῦ μέριμνα εἰς δειλίαν φέρει καὶ τοὺς ἀνδρείους καὶ δαπανᾷ τὴν δύναμιν αὐτῶν.

43\. *τοὺς δὲ στενοὺς καὶ δυσκόλους τόπους καὶ πολὺ διάστημα κρατοῦντας εἰς χώραν τῶν πολεμίων οἱ πεζοὶ κατεξαίρετον διαβαίνειν οὐκ ἔχουσι δυσκολίαν. ὅμως περὶ τούτων εἴπωμεν μετὰ ταῦτα.*

44\. *οὐκ ἐπιτρέπομεν δέ, ἵνα διαβαίνωσιν οἱ καβαλλάριοι εἰς τὴν χώραν τῶν πολεμίων, ἐξαιρέτως εἰς τὸ θέρος ἀσκόπως καί, ὡς φθάσουσι, χωρὶς ἀνάγκης· τότε γὰρ τὰ*

674\. *μῖξαι* **C p** || *ἡ*] *ἢ* **p** || 677. *κατ᾽ ἐξαίρετον* **p** || 680. *ἀσκόπως* compendiose ita scriptum, ut et pro *ἀσκόπει* possit legi.

εἰσι καὶ ἐπ᾽ ὀλίγον ἄχρι ἑνὸς μιλίου ἐκτεταμένοι, δυνατόν ἐστι καὶ καβαλλαρίους πεζεύειν ἐν αὐτοῖς ἀσφαλῶς. στενοὺς δὲ καὶ δυσκόλους ἐκείνους λέγομεν ⟨τόπους⟩, τοὺς μίαν καὶ μόνην πάροδον ἔχοντας. εἰ γὰρ καὶ *ἄλλαι εἰσὶ καὶ ἐπινοηθῆναι δύνανται, ἀνεμποδίστως ἡ πάροδος γίνεσθαι δύναται.

2. Ἐὰν οὖν γένηται καιρὸς στενῶν διαβάσεων καὶ διὰ τῶν αὐτῶν τόπων ἐλπίζηται ἡ ἐπάνοδος, εἰ μὲν δασεῖς εἰσι καὶ ἐπ᾽ ὀλίγον

CONSTITUTIO IX.

τόπος ἐπ᾽ ὀλίγον ἄχρι ἑνὸς μιλίου ἐκτεταμένος καὶ δύνανται καὶ πεζοὶ διαβαίνειν ἐκεῖ, δυνατόν ἐστι καὶ καβαλλαρίους πεζεύειν ἐν αὐτοῖς ἀσφαλῶς.

45. Στενοὺς δὲ καὶ δυσκόλους ἐκείνους λέγω τόπους, 44.
τοὺς μίαν καὶ μόνην πάροδον ἔχοντας. εἰ γὰρ καὶ ἄλλαι εἰσὶ πάροδοι καὶ ἐπινοηθῆναι δύνανται, ἀνεμποδίστως ἡ πάροδος δύναται γίνεσθαι.

46. Ἐὰν οὖν γένηται καιρὸς στενῶν διαβάσεων καὶ 45.
διὰ τῶν αὐτῶν πάλιν τόπων μέλλῃ ὑποστρέφειν ὁ στρατός, εἰ μὲν δασεῖς εἰσι καὶ ἐπ᾽ ὀλίγον διάστημα,

2699. ἐπὶ **A P_1 V** || ἐκτεταμένος (ἐκτεταγμένος **A**) ἄχρι ἑνὸς μιλίου **A P_1 V** || **2700.** δύνονται **P_1 V** || **2701.** Pro πεζεύειν . . . . ἀσφαλῶς in **A P_1 V** πεζεύοντας διέρχεσθαι est traditum || **2702—2705.** omm. **A P_1 V** || **2705.** γίνεσθαι ex Urbicio recepi, γενέσθαι **M W** || **2707.** μέλλει codd. || **2708.** εἰσὶν **W**, εἰσὶ ceteri.

δάση δασύτερα γίνονται. εἰ δ᾽ ἐστὶ τόπος ὡς, ἵνα κρατῇ ὀλίγον ἄχρις ἑνὸς μιλίου καὶ δύνανται καὶ πεζοὶ διαβαίνειν ἐκεῖ, δυνατόν ἐστιν, ἵνα καὶ καβαλλάριοι πεζεύωσι μετ᾽ ἀσφαλείας εἰς αὐτόν.

45. στενοὺς δὲ καὶ δυσκόλους τόπους ἐκείνους λέγω, τοὺς ἔχοντας μίαν μόνην ὁδόν. ἂν δὲ ὦσι καὶ ἄλλαι ὁδοὶ καὶ δύνωνται ἐπινοηθῆναι, γίνεται ἀνεμπόδιστος ἡ διάβασις.

46. | ἂν δὲ διαβῇ ὁ στρατὸς εἰς στενοὺς τόπους καὶ πάλιν μέλλῃ ὑποστρέφειν διὰ fol. 13'
τῶν αὐτῶν τόπων, εἰ μὲν ἔχουσι δάση καὶ κρατοῦσιν ὀλίγον διάστημα οἱ τοιοῦτοι τόποι,

681. ἔστι C || 687. κρατῶσιν p.

διάστημα, ὡς εἴρηται, κρατοῦσι, τούτους κατὰ τὸν καιρὸν της εἰσόδου ἐκκόπτειν καὶ πλατύνειν καὶ καθαρίζειν κατὰ τὸν ἐνδεχόμενον τρόπον. εἰ δὲ στενοὶ καὶ κρημνώδεις, ὥστε μηδὲ πλατυνθῆναι δύνασθαι, προκαταλαμβάνειν αὐτοὺς καὶ ἐν ὑψηλοτέροις τόποις αὐτῶν τὴν ἀρκοῦσαν καταλιμπάνειν ἀσφαλῶς βοήθειαν ἢ καὶ καβαλλαρίων ἢ πεζῶν μέχρι τῆς ἐπανόδου, ἢ καὶ ἑκάτερον ποιεῖν ἐν τοῖς ἀναγκαιοτέροις τόποις, τοῦτ᾽ ἔστιν ἐκκόπτειν ἤτοι

CONSTITUTIO IX.

ὡς εἴρηται, κρατοῦσι, τούτους κατὰ τὸν καιρὸν τῆς ὁδοῦ ἔκκοπτε καὶ πλάτυνε καὶ καθάριζε κατὰ τὸν ἐνδεχόμενον τρόπον. εἰ δὲ στενοὶ καὶ κρημνώδεις, ὥστε [p. 108. M.] μὴ πλατύνεσθαι δύνανται, ὡς ἀνωτέρω ἡμῖν εἴρηται, προκαταλάμβανε αὐτοὺς διά τινος πεζικῆς δυνάμεως καὶ ἐν τοῖς ὑψηλοτέροις αὐτῶν τόποις τὴν ἀρκοῦσαν κατάλιμπανε ἀσφαλῶς βοήθειαν ἢ τυχὸν καὶ διὰ καβαλλαρίων μέχρι τῆς ὑποστροφῆς, ἢ καὶ τοῦτο κἀκεῖνο ποιεῖν ἐν τοῖς ἀναγκαιοτέροις τόποις, τοῦτ᾽ ἔστιν

2709. κρατοῦσιν **W A** || τούτους omm. **A P₁ V** || **2709—2710.** τῆς εἰσόδου voluit *Scheffer* p. 477. || **2712.** πλατύνασθαι **V** || IX, 28. || **2714.** ὑψηλωτέροις **A** || **2715.** ἢ] εἰ **M W** || **2716. 2717.** κᾀκεῖνο **M**, κακεῖνο **W**, καὶ ἐκεῖνο **P₁ V**, ἐκεῖνο **A** || **2717.** τόποις omm. **A P₁ V.**

ἵνα εἰς τὸν καιρὸν ⟨τῆς ὁδοῦ⟩, ὅπου μέλλει διαβῆναι ὁ στρατὸς εἰς αὐτούς, κόπτῃς τὰ δάση καὶ πλατύνῃς καὶ καθαρίζῃς αὐτοὺς κατὰ τὸ ἐνδεχόμενον. εἰ δὲ στενοί εἰσι καὶ κρημνώδεις καὶ οὐ δύνανται πλατύνεσθαι, προαπόστελλε πεζοὺς καὶ κράτει, ὡς ἀνωτέρω εἴπομεν, τοὺς τοιούτους τόπους, κατάλιμπανε δὲ καὶ εἰς τὰ ὑψηλότερα αὐτῶν βοήθειαν, τὴν ἀρκοῦσαν μετ᾽ ἀσφαλείας φυλάττειν, ἢ τυχὸν κράτει τοὺς τοιούτους τόπους καὶ διὰ καβαλλαρίων μέχρι τῆς ὑποστροφῆς τοῦ στρατοῦ ἢ ποίει καὶ τὰ δύο εἰς τοὺς ἐπιφοβωτέρους τόπους

688. τῆς ὁδοῦ inserui || ὅπου ego (cf. Inc. script. Byz. saec. X. p. 30. 21: πρὸς τὸ τὴν ὁδὸν ἀποκαθαίρειν, ὅπου δεῖ et *Psaltes* p. 197), ὅτε **C p** || μέλλῃ **p** || **689.** στενοὶ εἰσὶ **p**.

καθαρίζειν καὶ βοήθειαν καταλιμπάνειν κατὰ τὸ ἐνδεχόμενον. τοὺς δὲ τὴν πάροδον διὰ τῶν στενῶν ποιουμένους ἢ μετὰ τούλδου ἢ μετὰ πραίδας εἰς δύο παρατάξεις ἤτοι φάλαγγας γίνεσθαι καὶ ἐπὶ κέρας ἐν ὀρθίᾳ παραγωγῇ περιπατεῖν πεζῇ (πραίδας μάλιστα ἐν χερσὶν οὔσης), εἴτε πεζοὶ σύνεισιν, (οἷς μᾶλλον εὐχερὴς ἡ τῶν δασέων

CONSTITUTIO IX.

ἐκκόπτειν ἤγουν καθαρίζειν καὶ βοήθειαν καταλιμπάνειν κατὰ τὸ ἐνδεχόμενον.

47. | *Τοὺς δὲ τὴν πάροδον διὰ τῶν στενῶν ποιου-* 46. c. 780.
μένους ἢ μετὰ τούλδου ἢ μετὰ πραίδας εἰς δύο φάλαγγας ἤτοι παρατάξεις γίνεσθαι καὶ ἐπὶ κέρας ἐν ὀρθίᾳ παραγωγῇ περιπατεῖν πεζῇ. ὀρθία δέ ἐστι παραγωγὴ ἡ κατὰ μέτωπον μὲν στενή, κατὰ δὲ τὸ βάθος εἰς μῆκος ἐκτεινομένη. τοῦτο δὲ ποιεῖν πραίδας μάλιστα ἐν χερσὶν οὔσης, εἴτε πεζοί εἰσιν, (οἷς μᾶλλον εὐχερὴς

2720. *στενῶν τόπων* **AP₁V** || **2721.** *ἢ καὶ μετὰ τούλδου ἢ καὶ μετὰ πραίδας* **P₁** || *τόλδου* **W** || *πραῖδας* **M,** *πραιδας* **W** || **2722.** *ἤγουν* **AP₁V** || *παράταξεις* **V** || **2723.** *δὲ ἐστὶν* **P₁V** || **2725.** *πραῖδας* **M,** *πραιδας* **W** || **2726.** *πεζοι εισιν* **W,** *πεζοὶ εἰσὶν* **P₁V** || *εὐχερὴς καὶ εὔκολος* **AP₁V.**

ἤγουν ἵνα καὶ τὰ δάση κόψπτῃς καὶ καθαρίζῃς αὐτὰ καὶ || *ἵνα καταλιμπάνῃς καὶ* c. 1245 Lami.
βοήθειαν, ὅσην ἐνδέχεται. p. 31. Meurs.

47. *οἱ δὲ διάγοντες ἢ μετὰ τούλδου ἢ μετὰ πραίδας εἰς στενοὺς τόπους, κἄντε πεζοὶ ὦσι, κἄντε καβαλλάριοι, ὀφείλουσι γίνεσθαι εἰς δύο παραταγὰς καὶ περιπατεῖν πεζῇ· καὶ ἡ μὲν μία παραταγὴ ἵνα περιπατῇ εἰς τὸ ἓν πλάτος, ἡ δὲ ἄλλη εἰς τὸ ἄλλο, καὶ μέσον ἵνα περιπατῇ τὸ τοῦλδον ἢ ἡ πραῖδα. αἱ δὲ τοιαῦται δύο παραταγαὶ περιπατείτωσαν ἐπὶ κέρας ἤγουν τὸ ἓν κέρατον, ὅπέρ ἐστι τὸ ἄκρον τῆς παραταγῆς, ἵνα περιπατῇ ἔμπροσθεν ὡς μέτωπον, τὸ δ' ἄλλο ἵνα ἀκολουθῇ ὄπισθεν ὡς οὐρά, καὶ οὕτως ἵνα ὑπάρχῃ ἡ παραταγὴ εἰς μῆκος ὀρθία καὶ στενή, τὸ ἴδιον μέτωπον ἔχουσα βάθος καὶ τοὺς πρώτους τῶν ἱσταμένων εἰς βάθος αὐτῆς ὀρδίνων ἔχουσα περιπατοῦντας εἰς πλάγιον. καὶ ἡ μὲν περιπατοῦσα δεξιὰ παραταγὴ ἵνα ἔχῃ περιπατοῦντας εἰς τὸ δεξιὸν πλάγιον πρὸς τὸ φυλάττειν*

697. *κἄντι* p || 699. *περιπατήτωσαν* p || 700. *ὅπερ ἐστὶ* C || 701. *δὲ* p.

καὶ δυσβάτων καὶ στενῶν τόπων διάβασις,) εἴτε καβαλλάριοι ἐκ τῶν ἵππων ἀποβαίνοντες, καὶ μέσον τὸν τοῦλδον καὶ τὴν ἀποσκευὴν τάσσειν. ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τόποις μετὰ τὴν διφαλαγγίαν, τὴν ἀφοριζομένην εἰς παραφυλακὴν τοῦ τούλδου καὶ τῆς πραίδας τῆς, ὡς εἰκός, ἐνούσης αὐτοῖς, πάντως καὶ ἄλλους ἐξπλήκτους,

CONSTITUTIO IX.

ἢ τῶν δασέων καὶ δυσβάτων τόπων διάβασις,) εἴτε καβαλλάριοι ἐκ τῶν ἵππων καταβαίνοντες, καὶ μέσον τὸν τοῦλδον καὶ τὴν ἀποσκευὴν ἔχειν.

47. 48. *Ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τόποις μετὰ τὴν διφαλαγγίαν (ἥτις ἔχει δυνατὸν τὸν λαὸν ἔμπροσθεν καὶ ὄπισθεν, ὥσπερ στομώματα μαχαίρας), ἣν δέον σε ἀφορίζειν εἰς φυλακὴν τοῦ τούλδου καὶ τῆς πραίδας τῆς, ὡς εἰκός, ἐνούσης αὐτοῖς, πάντως καὶ ἄλλους*

2727. In P_1 *διαβάσεις* a. c. || **2729.** *τὸν* **A**, *τὸ* ceteri || *ἔχειν* ego, *ἔχοντες* codd. || **2731.** *εἴτις* P_1V || *τὸν* omm. AP_1V || **2732.** *στόματα* AP_1V || *ἢν* P_1 || **2733.** *τόλδου* **W** || *πραῖδας* **M**, *πραιδας* **W** || **2734.** *τῆς* omm. P_1V || *συνούσης* AP_1V || **2734—2736.** *καὶ ἄλλους ἔχειν δεῖ ἐλαφροὺς καὶ μηδὲν βάρος*

τὸ ἔξω μέρος, ἡ δὲ περιπατοῦσα ἀριστερὰ ἵνα ἔχῃ περιπατοῦντας αὐτοὺς εἰς τὸ ἀριστερὸν πλάγιον πρὸς τὸ φυλάσσειν ὁμοίως τὸ ἔξω μέρος. οὕτω γὰρ καὶ λαγχάνει, ἐπειδὴ ὅταν μὲν περιπατῇ τὸ ἀριστερὸν κέρατον τῆς παραταγῆς ἔμπροσθεν, περιπατεῖν τοὺς πρώτους τῶν ὀρδίνων εἰς τὸ δεξιὸν πλάγιον, ὅταν δὲ τὸ δεξιόν, λαγχάνει περιπατεῖν αὐτοὺς εἰς
fol. 13v *τὸ ἀριστερὸν πλάγιον. τοῦτο δὲ ὀφείλουσι | ποιεῖν, ὅταν ἔχωσι τὸ τοῦλδον ἢ τὴν πραῖδαν, ὡς εἴρηται. πλὴν εἰ μέν εἰσι πεζοί, εὐκολώτερα διαβαίνουσι τὰ δάση καὶ τοὺς δυσκόλους καὶ στενοὺς τόπους, ἂν δὲ καβαλλάριοι, ἵνα καταβαίνωσι καὶ ποιῶσιν, ὡς εἴπομεν, καὶ ἔχωσι μέσον τὸ τοῦλδον ἢ τὴν πραῖδαν, καὶ οὕτως ἵνα διαβαίνωσι πεζοί.*

48. *καὶ εἰς τοὺς τοιούτους τόπους εἰς καιρὸν θέρους οἱ διαβαίνοντες μετὰ τούλδου*
p. 35. **Meurs.** *ἢ πραίδας οὐ μόνον ὀφείλουσι ποιεῖν οὕτως, ὡς || ἀρτίως εἴπομεν, ἀλλὰ καὶ σύ, στρατηγέ, ἵνα ἔχῃς καὶ ἄλλους ἐπὶ τοῦτο αὐτὸ ἐλαφροὺς καὶ μηδὲν βάρος βαστάζοντας, τοὺς*

705. *περιπατοῦντα αὐτοὺς* p || 707. Iteratur *λαγχάνει* (708.) in C p ante *περιπατεῖν* || 710. *μὲν εἰσὶ* C || 711. *καὶ τοὺς στενοὺς* p || 714. *συ* p.

τοὺς καλλίω καὶ † πλείους,[1] *ποιεῖν ἐκ περισσοῦ κατὰ τῶν τεσσάρων μερῶν τῆς διφαλαγγίας, ὡς ὁ τόπος παραδέχεται, παρακολουθοῦντας καὶ ἀποσοβοῦντας τοὺς πειρωμένους, ὡς εἰκός, ἐκ τῶν ἐχθρῶν ἐπέρχεσθαι καὶ διαταράσσειν *αὐτήν, ἵνα ἀδιάσπαστος καὶ ἀσύγχυτος ἡ πρὸς ⟨παρα⟩φυλακὴν τοῦ τούλδου ἢ τῆς πραίδας τάξις φυλάττηται καὶ μὴ περισπῶνται οἱ ἐν αὐτῇ πρὸς τοὺς ἐπερχομένους.*

[1] Scribendum censeo *πλείω*; v. app.-m!

CONSTITUTIO IX.

ἐξπλήκτους ἤγουν ἐπὶ τούτῳ μόνῳ ὄντας, τοὺς καλλίω
καὶ † πλείους, ποιεῖν ἐκ περισσοῦ κατὰ τῶν τεσσάρων
μερῶν τῆς διφαλαγγίας, ὡς ὁ τόπος παραδέχεται, παρα-
κολουθοῦντας καὶ ἀποσοβοῦντας τοὺς βουλο|μένους, ὡς [p. 109. M.]
εἰκός, ἐκ τῶν ἐχθρῶν ἐπέρχεσθαι καὶ διαταράσσειν
αὐτήν, ἵνα ἀδιάσπαστος καὶ ἀσύγχυτος ἡ πρὸς παρα-
φυλακὴν τοῦ τούλδου καὶ τῆς πραίδας τάξις φυλάττη-
ται καὶ μὴ δὲ περισπῶνται οἱ ἐν αὐτῇ διὰ τοὺς ἐπερ-

ἐπιφερομένους, τοὺς καλλίονας καὶ πλείονας habent **AP₁V** || **2735.** *ἐξπλήκτους* (= explicitos; cf. *Psaltes* p. 36, n.) **Meursii codex,** *ἐξαπλήκτους* (cf. *Psaltes* p. 9) **M,** *ἐξαπλήκτους* **W**; sed cff. XIII, 12, XVII, 23, 53, 63, 65, 71. (Mgn.) || **2736.** *πλείους* **MW**; ad *καλλίω* et **πλείω* sc. *ὄντας* cf. *Psaltes* p. 160; || *ποιεῖν ἐκ περισσοῦ* omm. **AP₁V** || **2737. 2738.** *παρακαλουθοῦντας* **V** || **2738.** *ἀπαντῶντας* **AP₁V** || **2740.** *ἀσύγχυτος*] *ἀτάραχος* **AP₁V** || *ἡ* om. **M,** *ἢ* **A** || **2741.** *τόλδου* **MW** || *πραῖδας* **M,** *πραιδας* **W** || **2741. 2742.** *φυλάττεται* **MW** || **2742.** *μηδὲ* **AP₁V,** *μηδε* **W.**

καλλίονας καὶ περισσοτέρους, καὶ ποιῇς αὐτοὺς ἀκολουθεῖν ἐκ περισσοῦ ἔξωθεν τῶν δύο παραταγῶν εἰς τὰ τέσσαρα μέρη, ὡς ὁ τόπος παραδέχεται, ἵνα ἀποδιώκωσι τοὺς ἐχθρούς, ἂν ἄρα καὶ ἐπέλθωσι, πρὸς τὸ μὴ ἐμφῦραι ἤγουν συγχῦσαι καὶ ταράξαι τὰς τοιαύτας δύο παραταγάς (ὀφείλουσι γὰρ περιπατεῖν ἀδιάκοποι καὶ ἀτάραχοι)· φυλάττουσι γὰρ τὸ

716. *κάλλωνας* tentavit Meursius a Ducangeio refutatus || 718. *ἂν γὰρ καὶ ἄρα* p || *ἐμφύραι* et *συγχύσαι* C p.

πῶς γὰρ ἅπαντα πραχθήσεται τοῖς εἰς τὴν διφαλαγγίαν τασσομένοις καὶ τὴν πραῖδαν *μετὰ τάξεως φυλάττειν, καὶ τοῖς ἐπερχομένοις, ὡς εἰκός, τῶν ἐχθρῶν ἁρμόζεσθαι; καὶ διὰ τοῦτο ἐκ περισσοῦ δεῖ ἔξωθεν τῆς διφαλαγγίας ἔχειν κατὰ τῶν τεσσάρων μερῶν καὶ κατεξαίρετον ὄπισθεν τῆς τάξεως ⟨τοὺς κρείττονας⟩ ἀφορίζεσθαι. οὕτω γὰρ ἄν τις δυνήσεται [1] ἐν παντὶ καιρῷ τοὺς δυσκόλους εὐκόλως διαβαίνειν τόπους. τοὺς μέντοι ἵππους τῶν ἀποβαινόντων καὶ

[1] Sic etiam Rec. Ambrosiana; sed *malim* ὁ ἀντὶς (= ex adverso hostium stans) hic et apud Leonem.

CONSTITUTIO IX.

χομένους. οὐ γὰρ δυνατὸν τοὺς εἰς τὴν διφαλαγγίαν τασσομένους καὶ τὴν πραῖδαν μετα τάξεως φυλάττειν, καὶ τοῖς, ὡς εἰκός, ἐπερχομένοις τῶν ἐχθρῶν ἁρμόζεσθαι. διὰ τοῦτο ἐκ περισσοῦ δεῖ ἔξωθεν τῆς διφαλαγγίας ἔχειν κατὰ τῶν τεσσάρων μερῶν καὶ κατεξαίρετον ὄπισθεν τοὺς κρείττονας ἀφορίζεσθαι. οὕτως γὰρ ἄν τις δυνήσεται ἐν παντὶ καιρῷ τοὺς δυσκόλους καὶ τραχεῖς τόπους διαβαίνειν εὐκόλως.

2743. τὴν omm. **P_1 V** || **2744.** πραίδαν **P_1 V** || **2745.** τοὺς . . . . ἐπερχομένους **A P_1 V** || ἁρμόζεσθαι] ἀπαντᾶν **A P_1 V** || **2746.** ἐκ περισσοῦ δεῖ] χρὴ ἐκ περισσοῦ **A P_1 V.**

τοῦλδον καὶ τὴν πραῖδαν, οὐ δύνανται δὲ οἱ παρατασσόμενοι εἰς τὰς αὐτὰς δύο παραταγὰς φυλάττειν καὶ τὸ τοῦλδον καὶ τὴν πραῖδαν μετὰ τάξεως καὶ ἀπαντᾶν καὶ πρὸς τοὺς ἐπερχομένους ἐχθρούς. διὰ τοῦτο ἁρμόζει ἀκολουθεῖν ἐκ περισσοῦ τινας εἰς τὰ τέσσαρα μέρη ἔξωθεν τῶν δύο παραταγῶν, κατεξαίρετον δέ, ἵνα χωρίζῃς ὀπίσω τοὺς κρείττονας. οὕτω γὰρ δύναταί τις πάντοτε καὶ εἰς χειμῶνα καὶ εἰς θέρος τοὺς δυσκόλους καὶ τραχεῖς τόπους εὐκόλως διαβαίνειν.

722—723. Verba **διὰ τοῦτο . . . . παραταγῶν** in C p post **διαβαίνειν** (725) et ante (717) **ἵνα ἀποδιώκωσι** exhibentur || **τινὰς** C || 723. **κατ᾽ ἐξαίρετον** p.

*πεζευόντων στρατιωτῶν, ἐὰν πεζοὶ οὐ σύνεισι στρατιῶται, μὴ πλησίον τῶν πεζευόντων ἔχειν, ἀλλ' ἐν μέσῳ τόπῳ αὐτοὺς ἀσφαλῶς ἄγεσθαι, ὥστε μή, ὡς εἰκός, ἀλόγου δειλίας *γενομένης, ταρασσομένους τοὺς πεζεύοντας καὶ πλησίον αὐτῶν τούτους εὑρίσκοντας προχείρως ἐπιλαμβανομένους τῶν ἵππων καταλιμπάνειν τὴν τάξιν καὶ ἐντεῦθεν βλάβην γίνεσθαι.*

CONSTITUTIO IX.

49. *Τοὺς δὲ ἵππους τῶν ἀποβαινόντων καὶ πεζευόντων στρατιωτῶν, ἐὰν πεζοὶ οὐ σύνεισι στρατιῶται, μὴ πλησίον τῶν πεζευόντων ἔχε, ἀλλὰ ἐν μέσῳ τόπῳ αὐτοὺς ἀσφαλῶς ἄγε, ὥστε μή, ὡς εἰκός, παραλόγου δειλίας γενομένης, ταρασσόμενοι οἱ πεζεύοντες, ἐὰν πλησίον αὐτοὺς εὕρωσι, προχείρως ἐπιλαμβανόμενοι τῶν ἵππων καταλιμπάνωσι τὴν τάξιν καὶ ἐντεῦθεν βλάβη μεγίστη γίνεται.* 48.

2751. §. 49.] Cff. „*Inedita Tactica Leonis*" c. XLIX, 6: *τότε γὰρ δὴ τῶν ἵππων ἀποβάντας ἅπαντας, τούτους μὲν τῷ τούλδῳ συναναμῖξαι χρὴ καὶ μὴ ἐγγὺς ἔχειν, ἵνα μὴ φόβου καὶ συγχύσεώς τινος ἐπιγινομένης τὴν τάξιν οἱ πλεῖστοι λύσωσι, τῶν ἵππων ἕκαστος ἐκεῖθεν ὄντων ἐπιβαίνειν ἐπιχειροῦντες.* || **2752.** *σύνεισι* **MW**, *συνυπάρχουσι* **P_1V**, *συνυπάρχωσι* **A** || **2753.** *ἀλλ'* **P_1V** || **2753. 2754.** *ἀσφαλῶς αὐτοὺς* **P_1V** || **2755—2757.** Pro *ταρασσόμενοι . . . . . καταλιμπάνωσι* **AP_1V** habent *πλησίον ἔχοντες τοὺς ἵππους αὐτῶν, οἱ πεζεύοντες ἐπιβαίνοντες αὐτῶν καταλιμπάνωσι* || **2756.** *εὕρωσιν* **W** || **2757.** *καταλιμπάνουσι* **MW**; ad *ὥστε* cum coniunct. cff. XVII 65. XIX 67, XX 37; ad XIV 17 et XX 35 (Mgn.) cf. Praef. || **2758.** *γίνηται* **V.**

49. *τὰ δὲ ἱππάρια τῶν ἀποκαταβαινόντων καὶ πεζευόντων στρατιωτῶν μὴ ἔχῃς πλησίον αὐτῶν, ἂν ἄρα καὶ ἄλλοι πεζοὶ στρατιῶται τὸ σύνολον ⟨ἀπ⟩ῶσιν, ἀλλὰ ποίησον μετὰ τὸ περιπατεῖν εἰς τὸ μέσον μετ' ἀσφαλείας, ἵνα μὴ γένηται ἴσως δειλία εἰς τοὺς ἀποκαταβαίνοντας ἐξ αὐτῶν στρατιώτας καὶ εὕρωσιν ἐξ ἑτοίμου τὰ ἱππάρια αὐτῶν καὶ καβαλλικεύσωσι καὶ καταλίπωσι τὰς παραταγάς, ὅπέρ ἐστιν εἰς μεγάλην βλάβην.*

727. *ὦσιν* C p || 729. *ἐξετοίμου* C || 729. 730. *καβαλικεύσαι* C || 730. *ὅπερ ἐστὶν* C.

3. *Εἰ δὲ συμβῇ αἰχμαλωσίαν αὐτοὺς ἢ πραῖδαν ἐπιφέρεσθαι ⟨καὶ⟩[1] εἴτε καθ᾽ ἑνὸς μέρους συμβῇ ἐπιφαίνεσθαι τοὺς ἐχθρούς, εἴτε κατὰ τῶν δύο, ἔνθα ἡ πάροδος γίνεται, τοὺς αἰχμαλώτους δεῖ δεδεμένους ἐξωτέρω τῆς τάξεως παράγειν καὶ ὑπ᾽ αὐτῶν ὡσανεὶ σκουτεύεσθαι, ἵνα αὐτῶν φειδόμενοι οἱ ἐχθροὶ μὴ ἐπιτηδεύωσιν ἀκοντίζειν, εἰ δὲ καὶ ἀκοντίσωσιν,*[2] *αὐτοὺς μᾶλλον ἀφανίζουσι καὶ*

[1] Cf. Kühner-Gerth II. 301. [2] Sic etiam Rec. Ambrosiana.

CONSTITUTIO IX.

49. 50. *Εἰ δὲ συμβῇ αἰχμαλωσίαν αὐτοὺς ἢ πραῖδαν ἐπιφέρεσθαι καὶ μέλλουσιν οἱ ἐχθροὶ ἐπιτηδεύειν ταῦτα, δέον ἢ κατὰ τοῦ ἑνὸς μέρους, ἢ κατὰ τῶν δύο, ἔνθα ἡ πάροδος γίνεται, τοὺς αἰχμαλώτους δεδεμένους ἐξωτέρω τῆς τάξεως παράγειν καὶ ὑπ᾽ αὐτῶν ὡσανεὶ σκουτεύεσθαι, ἵνα αὐτῶν φειδόμενοι οἱ ἐχθροὶ μὴ ἐπιτηδεύωσιν ἀκοντίζειν, εἰ δὲ καὶ ἀκοντίσωσιν, αὐτοὺς μᾶλλον ἀφανίζουσι καὶ μὴ τὸν στρατιώτην.*

2759. *πραιδαν* **W**, *πραίδαν* **AP_1V** || **2760.** Pro *μέλλουσιν . . . . ταῦτα* **AP_1V** habent: *συμβῇ τοὺς ἐχθροὺς ἐπιτίθεσθαι κατ᾽ αὐτῶν* || **2760—2761.** *δέον ταῦτα* **MW**; ordinem inverti || **2762.** *ἔφοδος* **AP_1V** || *τοὺς αἰχμαλώτους* **AP_1V** post **(2761.)** *δέον* inserunt || **2762. 2763.** *ἐξοτέρω* **P_1** || **2764. 2765.** *ἐπιτηδεύουσιν* **MW** || *ἐπιτ. ἀκοντ.*] *ἀκοντίζωσιν ἢ τοξεύωσιν* **AP_1V** || **2765.** *ἀκοντίζουσιν* **AP_1V** || **2766.** *ἀφανίζουσιν* **A**, *ἀφανίζωσι* **WP_1V.**

50. *ἂν δ᾽ ἔχῃ ὁ στρατὸς αἰχμαλωσίαν ἢ πραῖδαν καὶ μέλλωσιν ἐπιτηδεύειν οἱ ἐχθροὶ*
c. 1248 **Lami.** *κατ᾽ αὐτῶν, ἵνα τὰ μὲν ἄλλα ποιῇς, καθὼς ||| εἴρηται, τοὺς δὲ αἰχμαλώτους ἔχῃς δεδεμένους ἢ εἰς τὸ ἓν μέρος, ἢ εἰς τὰ δύο, ὅπου ἐπεξέρχονται οἱ ἐχθροί, πλὴν ἵνα περιπατῶσι παρέξω τῆς παραταγῆς πρὸς τὸ φυλάττεσθαι καὶ ὡσανεὶ σκουτεύεσθαι ὑπ᾽ αὐτῶν τὴν*
fol. 14r *παραταγήν. φειδόμενοι γὰρ | οἱ ἐχθροὶ διὰ τοὺς αἰχμα||λώτους αὐτῶν οὔτε τοξεύουσιν,*
p. 36. **Meurs.** *οὔτε ῥιπταρίζουσιν εἰς τὴν παραταγήν, ἂν δὲ καὶ ποιήσωσι τοῦτο, ἀφανίζουσι μᾶλλον τοὺς ἰδίους αὐτῶν αἰχμαλώτους καὶ οὐχὶ τοὺς στρατιώτας.*

731. *δὲ* p || 732. *δ᾽* C || 733. *ἐπέρχονται* C || 734. *οἱονεὶ σκουτεύεσθαι* p.

μὴ τὸν στρατιώτην. εἰ δὲ ἄρα ἐν ἀνάγκῃ, ὡς εἰκός, καὶ περιστάσει ἀδοκήτῳ ἐν τῇ ἐξόδῳ ὁ στρατὸς γένηται καὶ ἐν στενώμασι καταληφθῇ καὶ οὐκ ἔστιν ἀκινδύνως τὴν ἀναχώρησιν ἐκεῖθεν ποιήσασθαι, κρεῖττόν ἐστιν ἐκ συμφώνου ἢ μέρος τῆς πραίδας, ἢ πᾶσαν παραχωρεῖν τοῖς ἐχθροῖς καὶ ἀβλαβῶς ἐξέρχεσθαι, ἤπερ δι᾽ αὐτὴν κιν-

CONSTITUTIO IX.

51. | *Εἰ δὲ ἄρα ἐν ἀνάγκῃ, ὡς εἰκός, καὶ περιστάσει* 50. [p. 110. M.] *ἀδοκήτῳ ὁ στρατὸς γένηται καὶ ἐν στενώμασι καταληφθῇ καὶ οὐκ ἔστιν ἀκινδύνως τὴν ἀναχώρησιν ἐκεῖθεν ποιήσασθαι, τότε κρεῖττόν ἐστιν ἐκ συμφώνου ἢ μέρος τῆς πραίδας, ἢ πᾶσαν παραχωρεῖν τοῖς ἐχθροῖς καὶ ἀβλαβῶς ἐξέρχεσθαι, ἀλλὰ μὴ δι᾽ αὐτὴν κινδυνεύειν.*

2767—2778. §§. 51—53.] Cff. „*Ined. Tact. Leonis*" XXIII, 4: *Καὶ πολεμίων μὲν ἐν ταῖς δυσχωρίαις μὴ ὄντων οὐδεὶς λοιπὸν λόγος, τούτων δὲ αὐτὰς προκαταλαμβανόντων πρέσβεις καταπέμπειν ἀνάγκη ἐπὶ τῷ τὸν στρατὸν μὲν τῆς λείας ἁπάσης ⟨μέρος⟩ παραχωρῆσαι, τούτοις δ᾽ αὖθις ἄνετον αὐτῷ τὴν πάροδον παρασχεῖν, σκληρῶν δὲ αὐτῶν ὄντων καὶ ἀσυμβάτων καὶ τὰς εἰρημένας μὴ προσιεμένων συνθήκας τὸ σύνολον, τότε δὴ τότε πᾶσι τρόποις πρὸς πόλεμον τὸν στρατηγὸν παρασκευάζεσθαι χρὴ καὶ τὴν ἐντεῦθεν λοιπὸν σωτηρίαν ἐπιζητεῖν· διὸ τοὺς μὲν αἰχμαλώτους ἅπαντας ἀφειδῶς τηνικαῦτα κτεινέτω καὶ πρὸς τούτοις τὴν ἐπιφερομένην ἅπασαν λείαν ὁλοσχερῶς κεραϊζέτω καὶ ἀφανισμῷ τελείῳ παραδιδότω . . . . δεῖ μέντοι μὴ ἐν ταῖς δυσχωρίαις τὸν πόλεμον συγκροτεῖν καὶ τὴν πάροδον ὁλοσχερῶς τὸν στρατηγὸν βιάζεσθαι.* || **2767.** *ἄρα* omm. **A P$_1$ V**, *ἆρα* **M**, *ἀρα* **W** || **2768.** *ἀπροσδοκήτῳ* **A P$_1$ V** || *στρατηγὸς* **P$_1$ V** || *καταλειφθῇ* **A**, *καταλιφθῇ* **P$_1$ V** || **2769.** *ἐκεῖθεν* omm. **A P$_1$ V** || **2770.** *κρεῖττον ἐστὶν* **M W P$_1$ V** || **2771.** *πραῖδας* **M**, *πραιδας* **W**.

51. *ἂν δὲ κρατηθῇ εἰς τὰ στενώματα ὁ στρατὸς καὶ ἐμπέσῃ εἰς ἀνάγκην καὶ περίστασιν ἀνέλπιστον καὶ οὐ δύναται χωρὶς κινδύνου διαβῆναι, τότε κρεῖττόν ἐστιν, ἵνα συμφωνῇ πρὸς τοὺς ἐχθρούς καὶ ἢ μέρος τῆς πραίδας, ἢ καὶ ὅλην αὐτὴν ἵνα ἀποστρέφῃ, καὶ μὴ κινδυνεύῃ δι᾽ αὐτήν, ἀλλὰ διαβαίνῃ μᾶλλον ἀβλαβῶς.*

739. *κρεῖττον ἐστὶν* C p || 740. *ἀντιστρέφῃ* C.

*δυνεύειν. εἰ δὲ μηδὲ οὕτως συμβιβασθῆναι βούλονται, *διαχρῆσθαι τούτους ἐπ' ὄψεσι τῶν ἐχθρῶν καὶ ἢ ἐπιμένειν τῇ χώρᾳ αὐτῶν καὶ λυμαίνεσθαι αὐτὴν ἀφειδῶς, ἤ, ὡς δυνατόν ἐστιν, ἑαυτοὺς μετὰ τάξεως περισώζειν καὶ τῆς ἐξόδου φροντίζειν. καὶ *παντοῖος τῷ στρατηγῷ σκοπὸς ἔστω ἐν τοῖς τοιούτοις στενώμασι καὶ μάλιστα ἐπὶ πολὺ διάστημα κρατοῦσι μὴ ἐπιτηδεύειν βιάζεσθαι τὴν πάρο-*

CONSTITUTIO IX.

c. 781. *51.* **52.** ‖ *Εἰ δὲ μη⟨δὲ⟩ οὕτως συμβιβασθῆναι βούλονται, διαχρῆσθαι τούτους ἐπ' ὄψεσι τῶν ἐχθρῶν καὶ ἢ ἐπιμένειν τῇ χώρᾳ αὐτῶν καὶ λυμαίνεσθαι αὐτὴν ἀφειδῶς, ἤ, ὡς δυνατόν ἐστιν, ἑαυτοὺς μετὰ τάξεως περισώζειν καὶ τῆς ἐξελεύσεως φροντίζειν.*

52. **53.** *Καὶ παντοῖός σοι, ὦ στρατηγέ, σκοπὸς ἔστω ἐν τοῖς τοιούτοις στενώμασι καὶ μάλιστα τοῖς ἐπὶ πολὺ διάστημα κρατοῦσι μὴ ἐπιτηδεύειν βιάζεσθαι στρατοῦ*

2773. *μὴ* **codd.** ‖ *οὕτω* **M** ‖ *βούλωνται* **MW** ‖ **2774.** *διαχρ.—ἐχθρῶν*] *φονεύειν αὐτοὺς βλεπόντων τῶν ἐχθρῶν* **A P₁ V** ‖ **2775.** *λυμαίνεσθαι*] *ἀφανίζειν* **A P₁ V** ‖ **2776.** *αὐτοὺς* **P₁ V** ‖ **2777.** *ἐξελάσεως* **P₁ V** ‖ **2778.** Verba *καὶ . . . . στρατηγέ* omm. **A P₁ V** ‖ *παντοῖος σοι* **MW** ‖ *σκοπὸς δέ σοι* **A P₁ V** ‖ **2778—2779.** *ἐν στενώμασι τοιούτοις* **P₁ V** ‖ **2779.** *στενώμασιν* **W** ‖ *ἐπιπολὺ* **M P₁ V,** *επιπολὺ* **W** ‖ **2780.** *κρατοῦσιν* **W A** ‖ **2780—2781.** Pro *μὴ ἐπιτ.—πάροδον* **A P₁ V** exhibent:

52. *ἂν δὲ οὐ θέλωσιν οἱ ἐχθροὶ συμβιβασθῆναι οὕτως περὶ τῆς πραίδας, τότε ἵνα φονεύῃ ὁ στρατὸς τοὺς αἰχμαλώτους, ὡς ἔτι βλέπωσιν οἱ ἐχθροί, καὶ ἀπὸ τότε ἢ ἵνα ἐπιμένῃ εἰς τὴν χώραν αὐτῶν καὶ καταβλάπτῃ αὐτὴν ἀφειδῶς ἤγουν ἀνηλεῶς, ἤ, ὡς δύναται, ἵνα περισώζῃ ἑαυτὸν μετὰ συντάξεως καὶ φροντίζῃ περὶ τῆς ἐξελεύσεως αὐτοῦ πρὸς τὴν ἰδίαν γῆν.*

53. *καὶ ἔχε σκοπόν, ὦ στρατηγέ, παντὶ τρόπῳ εἰς τὰ τοιαῦτα ⟨στενώματα⟩, κατεξαίρετον εἰς τὰ κρατοῦντα πολὺ διάστημα πρὸς τὸ μὴ ἐπιτηδεύειν καὶ βιάζεσθαι, ἵνα διαβιβάζῃς ἐκεῖ τὸν στρατὸν ἐξαιρέτως εἰς τὸν καιρὸν τοῦ θέρους διὰ τὰ περισσότερα*

743. *βλέπουσιν* C ‖ 745. *περισώζῃ* C p; sed cf. 222. ‖ 747. *στενώματα* inserui ‖ 747. 748. *κατ' ἐξαίρετον* p ‖ 748. *καὶ* superfluum? ‖ 749. *στρατὸν*] *καιρὸν* C p.

δον — ἐξαιρέτως ἐν καιρῷ θέρους — διὰ τὴν τῆς ὕλης δασύτητα πολεμίων ἐνοχλούντων, πρὶν ἂν ἢ αὐτοὶ ἀποσοβηθῶσι φαινόμενοι, ἢ ὑψηλότεροι τόποι τῆς παρόδου ὑπὸ τοῦ στρατοῦ προκαταληφθῶσιν.

Urbicii XII, 8, 19: ***Πῶς δεῖ τὰς πορείας ποιεῖσθαι ἐχθρῶν ἐγγιζόντων;*** 1. *Ὥστε καὶ ὄπισθεν καὶ ἔμπροσθεν καβαλλαρίους εἶναι πρὸς σκούλκαν καὶ περαιτέρω τῆς σκούλκας μηδένα*

CONSTITUTIO IX.

πάροδον — ἐξαιρέτως ἐν καιρῷ θέρους — διὰ τὴν τῆς ὕλης δασύτητα πολεμίων μάλιστα ἐνοχλούντων, πρὶν ἂν ἢ αὐτοὶ ἀποσοβηθῶσι φαινόμενοι, ἢ ὑψηλότεροι τόποι τῆς παρόδου ὑπὸ τοῦ στρατοῦ προκαταληφθῶσιν.
54. *Καὶ ταῦτα μὲν ἐπὶ τῆς καβαλλαρικῆς ἐκστρα- 53.*
τείας. ἐπὶ δὲ τῆς πεζικῆς ὁδοιπορίας εἰς μὲν ἐπιπέδους τόπους δέον σε καὶ ὄπισθεν αὐτῶν καὶ ἔμπροσθεν καβαλλαρίους καθιστᾶν εἰς βίγλαν καὶ ἐξωτέρω τῆς
βίγλας μηδένα τῶν πεζῶν φαίνεσθαι. τὰ δὲ ἄπλικτα ἐκ 54.

μὴ διαβιβάζειν τὸν στρατόν || **2783.** Pro *ἀποσοβηθῶσι φαινόμενοι* **AP$_1$V** *οἱ φαινόμενοι πολέμιοι ἀποδιωχθῶσιν* habent || **2784.** *προκαταληφθῶσι* **M**, *προκατακρατηθῶσιν* **AP$_1$V** || **2786.** *ἐπιπέδους*] *ὁμαλοὺς* **AP$_1$V** || **2788.** *καβαλαρίους* **W** || *βίγλας* **WAP$_1$V** || **2789.** Verbis *τὰ δὲ* § incipit in **M** sicut in ceteris codd.; sed v. infra! || *ἄπλικτα* **M**, *απλικτα* **W**, *ἄπληκτα* **A**, *ἀπλῆκτα* **P$_1$V.**

δάση καὶ μάλιστα, ὅτε ἐνοχλοῦσιν οἱ ἐχθροί. καὶ γὰρ πρῶτον ὀφείλουσι διώκεσθαι οἱ πολέμιοι πρὸς τὸ μὴ φαίνεσθαι αὐτούς, ἤ, ἂν ὦσιν ὑψηλότεροι τόποι εἰς τὰ τοιαῦτα στενώματα, ἵνα προαποστέλλῃς ⟨στρατὸν⟩ καὶ κρατῇς αὐτούς, ὡς ἀνωτέρω εἴρηται, καὶ τότε διαβαίνῃ ὁ στρατός.

54. *καὶ ταῦτα μὲν περὶ τῆς ὁδοῦ τῶν καβαλλαρίων. πρὸς δὲ τοὺς πεζούς, ὅταν περιπατῶσιν εἰς στενοὺς τόπους, ἵνα ἀφορίζῃς καβαλλαρίους καὶ ὄπισθεν αὐτῶν καὶ ἔμπροσθεν*

752. **προαποστείλῃς** p || **στρατὸν** inserui.

τῶν πεζῶν φαίνεσθαι. τὰ δὲ ἄπληκτα ἐκ τοῦ πλησίον γίνεσθαι, ἵνα μὴ κοποῦνται οἱ πεζοὶ πολὺ περιπατοῦντες διάστημα.

2. *Ὥστε τὰς ἁμάξας κατὰ τὰ μέρη τῆς παρατάξεως περιπατεῖν, εἴτε ἐν ὀρδίνῳ, εἴτε ἐν παρατάξει πρὸς τὸν τόπον πρῶτον τοῦ δεξιοῦ κέρατος, εἶτα τοῦ ἀριστεροῦ, μετ᾽ αὐτὰς τοῦ μέσου ἀριστεροῦ καὶ τότε τοῦ *μέσου δεξιοῦ· καὶ μὴ χύδην καὶ ἀναμεμιγμένως.*

3. *Ὥστε, ἐὰν οἱ ἐχθροὶ πλησίον εἰσίν, τὰ ὅπλα αὐτῶν βαστά-*

CONSTITUTIO IX.

τοῦ πλησίον γίνεσθαι, ἵνα μὴ κοποῦνται οἱ πεζοὶ περιπατοῦντες πολὺ διάστημα.

[p. 110. M.] 55. 55. | *Τὰς δὲ μετὰ τῶν πεζῶν ἁμάξας κατὰ τὰ μέρη τῆς παρατάξεως περιπατεῖν δέον, εἴτε ἐν ὀρδίνῳ, εἴτε ἐν παρατάξει, πρὸς τὸν τόπον πρῶτον τοῦ δεξιοῦ κέρατος, εἶτα τοῦ ἀριστεροῦ, μετ᾽ ἐκείνας δὲ τοῦ μέσου ἀριστεροῦ καὶ τότε τοῦ μέσου δεξιοῦ· καὶ μὴ πεφυρμέναι καὶ ἀναμεμιγμέναι περιπατοῦσιν.*

56. 56. *Ἐὰν δὲ οἱ ἐχθροὶ πλησίον εἰσίν, δέον τοὺς ὁπλί-*

2790. *σκοποῦνται* **M W** || **2792.** Paragraphus non distinguitur in **M** || *τὰ* omm. **A P_1 V** || **2795.** *μετ᾽ ἐκείνους* **A P_1 V** || **2796.** Verbis *τοῦ μέσου δεξιοῦ* finitur fol. 77v in **W**; folium 78r verbis *μέρη ἴσως* (IX, 59) incipit; excidit itaque unum folium || **2796—2797.** *μη πεφυρμέναι* **P_1 V** || **2797.** *περιπατῶσιν* **A P_1**, *περὶ πατῶσιν* **V** || **2798.** *ὦσιν* **P_1 V.**

πρὸς τὸ εἶναι βίγλας, καὶ παρέξω τῆς βίγλης ἵνα μηδεὶς ἐκ τῶν πεζῶν φαίνηται. τὰ δὲ ἄπληκτα ἵνα ποιῇς ἐγγύτερα πρὸς τὸ μὴ κοπιᾶν τοὺς πεζοὺς περιπατοῦντας πολὺ διάστημα.

p. 37. **Meurs.** 55. *αἱ δὲ μετὰ* || *τῶν πεζῶν ἅμαξαι ἵνα περιπατῶσι, καθὼς περιπατοῦσι τὰ μέρη τῆς παραταγῆς, εἴτε ὀρδίνου, εἴτε μετὰ παρατάξεως πρὸς τὸν τόπον, πλὴν ἵνα μὴ περιπατῶσι πεφυρμέναι καὶ ἀναμεμιγμένως, ἀλλὰ πρῶτον αἱ τοῦ δεξιοῦ κέρατος καὶ κατόπισθεν*
fol. 14v *τοῦ ἀριστεροῦ, εἶτα τοῦ μέσου ἀριστεροῦ καὶ τότε τοῦ μέσου | δεξιοῦ.*

56. *ἂν δὲ ὦσιν οἱ ἐχθροὶ πλησίον, ἁρμόζει τοὺς σκουταράτους ἕνα ἕκαστον βαστάζειν*

756. *καὶ* om. p || 759. *εἴτε ὀρδίνου*] conferas XI, 17; *εἴτε μετ᾽ ὀρδίνου* Meursius voluit || 760. *χοάτους* p.

ζοντας τοὺς ὁπλίτας περιπατεῖν καὶ μὴ εἰς τὰς ἁμάξας *ταῦτα καταλιμπάνειν, ἵνα ὦσιν ἕτοιμοι πρὸς τὴν μάχην.

4. Ὥστε ἐν τοῖς ἀναγκαίοις καιροῖς, καθὼς ἐν τῇ παρατάξει τάττονται, οὕτως τάγμα τάγμα περιπατεῖν καὶ μὴ συγκεχυμένως ἢ διεσπασμένως, ἵνα, εἰ γένηται χρεία τοῦ παρατάξασθαι, ἑτοίμως πρὸς τοῦτο καταστῶσιν.

5. Ὥστε, ἐὰν πολλοί εἰσιν οἱ τῶν ἐχθρῶν καβαλλάριοι, ἐγγιζόντων αὐτῶν τῷ στρατῷ μὴ ἐπιτηδεύειν συνεχῶς τὰ ἄπληκτα

CONSTITUTIO IX.

ταῖς ἕκαστον τὰ ὅπλα αὐτοῦ βαστάζοντα περιπατεῖν καὶ μὴ εἰς τὰς ἁμάξας ταῦτα καταλιμπάνειν, ἵνα ὦσιν ἕτοιμοι πρὸς τὴν μάχην. ἐν δὲ τοῖς ἀναγκαίοις καιροῖς, καθὼς ἐν τῇ παρατάξει τάττονται τὰ τάγματα, οὕτως αὐτὰ δεῖ περιπατεῖν καὶ μὴ συγκεχυμένως ἢ διασπασμένως, ἵνα, ἐὰν γένηται χρεία τοῦ παρατάξασθαι, ἑτοίμως εἰς τοῦτο καταστῶσιν.

57. Ἐὰν δὲ πολλοί εἰσιν οἱ τῶν ἐχθρῶν καβαλλάριοι, 57.
ἐγγιζόντων αὐτῶν τῷ στρατῷ μὴ ἐπιτηδεύειν συνεχῶς

2801. ἕτοιμα videtur esse in **P_1 V** || **2804.** *διασπασμένως* omnes codd.; cf. *Psaltes* p. 201., sed etiam ad vss. **1208.** et **2841.** app. || **2805.** *καθιστῶσιν* **M** || **2806.** *πολλοὶ εἰσὶν* **M,** *πολλοὶ ὦσιν* **P_1 V** || **2807.** *αὐτῷ* **A.**

τὰ ἅρματα αὐτοῦ καὶ περιπατεῖν πρὸς τὸ εἶναι εἰς τὸν πόλεμον ἑτοίμους καὶ μὴ καταλιμπάνειν αὐτὰ εἰς τὰς ἁμάξας. εἰς δὲ τὸν καιρόν, ὅταν ὑποπτεύῃς πολεμίους, οὐκ ὀφείλουσι περιπατεῖν τὰ τάγματα οὔτε ἀναμεμιγμένα καὶ ὡς φθάσουσιν, οὔτε πάλιν διακεκομμένα, ἀλλ' οὕτως, ἵνα περιπατῶσιν ὡς παρατάσσονται εἰς τὴν παραταγήν, ἵνα, ἂν γένηται χρεία τοῦ παρατάξαι, εὑρεθῶσιν ἕτοιμοι εἰς τοῦτο.

57. *ἂν δὲ πολλοὶ ὦσιν οἱ καβαλλάριοι τῶν πολεμίων, ὅταν πλησιάζωσιν εἰς τὸν στρατόν, μὴ ἐναλλάσσῃς πυκνὰ τὰ ἄπληκτα, μηδὲ περιπατῇς καθ' ἡμέραν, ὅτε μέλλει*

763. *ἅρματα* C || 764. *πολεμίους*] syll. *ους* quasi omnino evanuit in C || 765. *φθάνουσιν* p || 766. *ἀλλὰ* C || 769. *ἐναλάσσῃς* C p || *καθημέραν* C.

ἀλλάσσειν ἢ τὰς ὁδοιπορίας ποιεῖσθαι πρὸ τῆς τοῦ πολέμου ἐκβάσεως, ἀλλὰ πρὸ δύο ἢ τριῶν ἡμερῶν προκαταλαμβάνειν τὸν τόπον, ἔνθα ἡ συμβολὴ μέλλει γίνεσθαι, κἀκεῖσε ἀσφαλῶς ἀπληκεύειν.

20. *Πῶς δεῖ τοὺς πεζοὺς εἰς δασεῖς καὶ δυσβάτους καὶ στενοὺς τόπους πορεύεσθαι;*

1. *Τοὺς ἐν ὕλαις δασείαις καὶ δυσβάτοις καὶ στενοῖς τόποις ἐλπίζοντας κατ᾽ ἐχθρῶν τὰς ἐγχειρήσεις ποιεῖσθαι, καὶ κατεξαίρετον Σκλάβων ἢ Ἀντῶν, εὐσταλεῖς εἶναι δεῖ καὶ μηδὲ πολλοὺς καβαλλαρίους ἔχειν, μήτε δὲ ἁμάξαις κεχρῆσθαι ἢ τούλδῳ πολλῷ*

CONSTITUTIO IX.

τὰ ἄπλικτα ἀλλάσσειν ἢ τὰς ὁδοιπορίας ποιεῖσθαι πρὸ τῆς τοῦ πολέμου ἐκβάσεως, ἀλλὰ πρὸ δύο ἢ τριῶν ἡμερῶν προκαταλαμβάνειν τὸν τόπον, ἔνθα ἡ συμβολὴ μέλλει γίνεσθαι, κἀκεῖσε ἀσφαλῶς ἀπλικεύειν.

58. 58. *Ἐὰν δὲ μέλλῃς ἔφοδον ποιεῖν κατὰ χώρας ἐχθρῶν μετὰ πεζικοῦ στρατοῦ διὰ δασέων καὶ δυσβάτων καὶ στενῶν τόπων ἢ καὶ ἐν αὐτοῖς ἐγχειρήσεις κατ᾽ αὐτῶν ποιεῖσθαι, οὐ δεῖ σε πολλοὺς καβαλλαρίους ἔχειν, μήτε ἁμάξας ἔχειν ἢ τοῦλδον πολὺν ἢ ὅπλα πολλὰ ⟨καὶ βαρέα⟩,*

2808. *ἀπλίκτα* **M**, *ἀπλῆκτα* **A**, *ἀπλῆκτα* **P_1V** || *ἀλάσσειν* **P_1**, *ἀλάσσειν* **V** || **2809.** *ἐκτάσεως* **M** || ꝑ **P_1V** || ῃ **P_1V** || **2811.** *κἀκεῖσε* **A** (?), *κακεῖσε* **MP_1V** || *ἀπληκεύειν* **A**, *ἀπληκεύειν* **P_1V** || **2815.** *μήτε*] *οὔτε* **AP_1V** || **2816.** *ἔχειν* solus **M** habet || *πολύ* **Meursii codex** || *καὶ βαρέα* **ego** inserui.

γενέσθαι ὁ πόλεμος, ἀλλὰ πρὸ δύο ἢ τριῶν ἡμερῶν προλάμβανε καὶ ἀπέρχου εἰς τόπον, ὅπου μέλλει γίνεσθαι ἡ συμβολὴ τοῦ πολέμου, καὶ ἀπλήκευε ἐκεῖ μετ᾽ ἀσφαλείας.

58. *ἂν δὲ μέλλῃς ἐπέρχεσθαι κατά τινος χώρας ἐχθρῶν μετὰ πεζικοῦ στρατοῦ καὶ*
c. 1249 **Lami.** *διαβαίνειν εἰς ||| δάση καὶ δυσκόλους καὶ στενοὺς τόπους ἢ καὶ ἂν μέλλῃς καὶ εἰς τὰς τοιαύτας δυσκολίας πολεμεῖν τοὺς ἐχθρούς, μὴ ἔχε πολλοὺς καβαλλαρίους, μηδὲ ἁμάξας,*

770. *γένεσθαι* (?) p || 771. *γενέσθαι* C || 772. *ἐπάρχεσθαι* p || 773. *ἢ* om. p, *καὶ* om. C || 774. *μὴ δὲ* C, item 775.

ἢ ὅπλοις βαρέσιν, οἷον ζάβαις ἢ κασσιδίοις, ἀλλὰ σκουταρίοις τοὺς μὲν σκουτάτους μείζοσι, κονταρίοις δὲ κοντοῖς καὶ μὴ καβαλλαρικοῖς, τοὺς δὲ ψιλοὺς σκουταρίοις μικροτέροις καὶ ἐλαφροτέροις, τοξοφαρέτροις, βηρύτταις, ἀκοντίοις μικροῖς Μαυρισκίοις[1] καὶ ὀλίγοις *μαρτζυβαρβούλοις. ἀξίνας δὲ πάντως περισσὰς χρὴ ἔχειν καὶ ἐν τοῖς νωτοφόροις ζῴοις ἐπιφέρεσθαι διὰ τὰς χρείας. τὴν δὲ πεζικὴν τῶν σκουτάτων τάξιν μηδ' ἐπ' εὐθείας ἤτοι ⟨κατὰ⟩

[1] *μαυρικίοις* **M**; sed cff. *Ἐρουλίσκια* p. 116, *Σκλαβινίσκια* p. 118.

CONSTITUTIO IX.

οἷον λωρίκια καὶ κασσίδας ἢ κλιβάνια ἤ τι τῶν τοιούτων, ἀλλὰ σκουτάρια | μόνον ἔχειν τοὺς σκουτάτους μείζονα, [p. 112. M.] κοντάρια δὲ κοντὰ καὶ μὴ καβαλλαρικά, καὶ τὰ σπαθία καὶ τζικούρια, — τοὺς δὲ λεγομένους ψιλοὺς σκουτάρια μικρὰ καὶ ἐλαφρότερα, τοξοφάρετρα, ῥικτάρια, ἀκόντια μικρά, τζικούρια, καὶ εἴ τι τοιοῦτον ἐλαφρὸν καὶ χρήσιμον. ἀξίνας δὲ πάντως περισσὰς χρὴ ἔχειν καὶ ἐν τοῖς σαγμαρίοις ἐπιφέρεσθαι διὰ τὰς χρείας.

| 59. Τὴν δὲ πεζικὴν τῶν σκουτάτων τάξιν μηδὲ 59. c. 761.

2817. *ἢ* prius] *ἡ* **M** || *κλειβάνια* **M** || *τί* **M** || *τῶν* omm. **A P_1 V** || *τοιοῦτον* **A P_1 V** || **2818.** *μόνα* **A P_1 V** || **2819.** *καὶ μὴ καβαλλαρικὰ* *Scheffer* (p. 530.) inseruit || **2821.** *ῥηκτάρια* **M**, *ῥιπτάρια* **A P_1 V**; cf. vs. **1164.** || **2822.** Vocabulum *μικρὰ* in **A P_1 V** ad *τζικούρια* est relatum || **2823.** *χρὴ* omm. **P_1 V** || **2825.** *μήδε* **M**, *οὐδὲ* **A P_1 V**.

μηδὲ τοῦλδον πολύ, μηδὲ ἅρματα πολλὰ καὶ βαρέα, οἷον λωρίκια καὶ κασίδας καὶ κλιβάνια ἤ τι τοιοῦτον, ἀλλὰ σκουτάρια μόνα ἐχέτωσαν οἱ σκουταράτοι μεγαλώτερα, κοντάρια μικρὰ καὶ μὴ καβαλλαρικά, ἐχέτωσαν δὲ καὶ σπαθία καὶ τζικούρια. οἱ δὲ ψιλοὶ ἐχέτωσαν σκουτάρια μικρὰ καὶ ἐλαφρότερα, τοξοφάρετρα, || ῥιπτάρια, μεναύλια μικρά, τζικούρια καὶ εἴ p. 38. Meurs. *τι ἄλλο τοιοῦτον ἐλαφρόν ἐστι καὶ χρήσιμον. ἀξινάρια δὲ ἁρμόζει περισσὰ ἔχειν καὶ βαστάζειν καὶ εἰς τὰ σαγμάρια διὰ τὰς χρείας.*

59. *τὴν δὲ πεζικὴν παραταγὴν τῶν σκουταράτων μὴ ποιῇς ἡπλωμένην ὡς μέτωπον, ὡς*

775. *ἄρματα* C || 776. *τὶ* C || 779. *ἐλαφρὸν ἐστὶ* C.

*μέτωπον τάσσειν, ὡς ἐν τοῖς ὁμαλοῖς καὶ γυμνοῖς τόποις, ἀλλ' εἰς δύο ἢ τέσσαρα μέρη [ἢ] ἐπὶ δύο ἢ *τεσσάρων τὸ βάθος τῶν ἀκιῶν πρὸς τὸ ποσὸν τοῦ στρατοῦ, ἢ ἐπὶ κέρας πρὸς τὸ ὑποτεταγμένον σχῆμα, ⟨ἢ⟩, ὡς ἡ χρεία ἀπαιτεῖ. τὰ δὲ μέρη ἴσως κινεῖν καὶ περιπατεῖν ἀφεστῶτα ἀλλήλων, ὡς ἀπὸ λίθου βολῆς. ἐὰν δὲ σύνεισι καβαλλάριοι ἢ τοῦλδος, ὄπισθεν αὐτῶν τὸν τοῦλδον ποιεῖν*

CONSTITUTIO IX.

ἐπ' εὐθείας ἤτοι κατὰ μέτωπον τάσσειν χρή, ὡς ἐν τοῖς ὁμαλοῖς καὶ γυμνοῖς τόποις, ἀλλ' εἰς δύο ἢ τέσσαρα μέρη ἐπὶ δύο ἢ τεσσάρων τὸ βάθος τῶν ἀκιῶν πρὸς τὸ ποσὸν τοῦ στρατοῦ, ἤ, ὡς ἡ χρεία ἀπαιτεῖ. τὰ δὲ μέρη ἴσως κινεῖν καὶ περιπατεῖν ἀφεστῶτα ἀπ' ἀλλήλων, ὡς ἀπὸ λίθου βολῆς.

60. 60. *Ἐὰν δὲ σύνεισι καβαλλάριοι ἢ τοῦλδος, ὄπισθεν*

2827. β̄ **V** || *τέσσαρα*] δ̄ **M**, *τεσσάρας* **P$_1$ V** || 2828. β̄ **M** || *τεσσάρων* **Meursii codex**, δ̄ **M**, *τέσσαρας* **A** || Verba *μέρη . . . . τεσσάρων* omm. **P$_1$ V** || *ἀκιων* **M** || 2828—2829. *πρὸς* (*προς* **V**) *τὴν ποσότητα* **A P$_1$ V** || 2829. *ἀπαντᾶ* **M** || 2829—2831. Cff. „*Inedita Tactica Leonis*“ c. XLIX, 8: *διαστήματα δὲ ἐνταῦθα τῶν ταγμάτων προσάλληλα ἐπ' εὐθείας μὴ πλέον ἔστω λίθου βολῆς* || 2830. *ἐφεστῶτα* **P$_1$ V** || 2832. *εἰ* **A P$_1$ V** || *σύνεισιν* **W** || *τόλδος* **M W**.

παρατάσσεις εἰς πόλεμον, ἐν τοῖς ὁμαλοῖς καὶ γυμνοῖς τόποις, ἀλλ' ἵνα ποιῇς αὐτοὺς εἰς δύο ἢ εἰς τέσσαρα μέρη, ἐχέτωσαν δὲ οἱ ὄρδινοι βάθος ἀπὸ δύο ἀνδρῶν ἢ ἀπὸ τεσσάρων πρὸς τὸ ποσὸν τοῦ στρατοῦ, ἤ, ὡς ἀπαντᾷ ἡ χρεία. ὀφείλουσι δὲ καὶ τὰ τοιαῦτα τέσσαρα μέρη περιπατεῖν ἐπὶ κέρας καὶ τὸ ἓν κέρατον, ὅ ἐστι τὸ ἄκρον τῆς παραταγῆς, ἔμπροσθεν ἔχειν ὡς μέτωπον καὶ τὸ ἄλλο ὄπισθεν ὡς οὐρὰν καὶ οὕτως εἶναι αὐτὰ εἰς μῆκος ὄρθια
fol. 15r *καὶ στενά, τὸ | ἴδιον μέτωπον ἔχοντα βάθος καὶ τοὺς πρώτους τῶν ἱσταμένων εἰς βάθος ὀρδίνων ἔχοντα περιπατοῦντας εἰς πλάγιον, ὡς ἀνωτέρω λεπτομερῶς εἴπομεν. δεῖ δὲ αὐτὰ τέσσαρα μέρη κινεῖν καὶ περιπατεῖν τοσοῦτον ἀπέχοντα ἀπ' ἀλλήλων, ὅσον ῥίπτει τις λιθάριον.*

60. *ἂν δὲ ἔχῃς καὶ καβαλλαρίους ἢ τοῦλδον, ἵνα περιπατῇ τὸ τοῦλδον ὄπισθεν τῶν*

782. *παρατάσσῃς* p || 784. *ἀπαντῇ* p || 789. *ῥίπτει τὶς* C.

καὶ μετ' αὐτὸν τοὺς καβαλλαρίους καὶ μετ' αὐτοὺς ὀλίγους σκουτάτους καὶ ψιλοὺς νωτοφύλακας διὰ τὰς ἐκ τοῦ νώτου, ὡς εἰκός, ἐπιγινομένας ἀδοκήτους ἐφόδους, τοὺς δὲ ψιλοὺς τοὺς μὲν προπορεύεσθαι τῆς παρατάξεως μέχρι ἑνὸς σημείου μετὰ ὀλίγων καβαλλαρίων, τοὺς δὲ ἐκ πλαγίων ἑκατέρωθεν αὐτῆς περιπατεῖν, ἵνα μὲν καὶ σκουλκεύωσι καὶ γινώσκωσι, μὴ ἐγκρύμματά εἰσιν ἐχθρῶν ἢ δένδρα ἵστανται κατὰ τοὺς νώτους αὐτῶν πεπρισμένα,

CONSTITUTIO IX.

αὐτῶν τὸν τοῦλδον ποιεῖν καὶ μετ' αὐτὸν τοὺς καβαλλαρίους καὶ μετ' αὐτοὺς ὀλίγους σκουτάτους ⟨καὶ⟩ ψιλοὺς νωτοφύλακας διὰ τὰς ἀπὸ ὄπισθεν, ὡς εἰκός, ἐπιγινομένας ἀδοκήτους ἐφόδους, τοὺς δὲ ψιλοὺς τοὺς 61.
μὲν ἐκπορεύεσθαι τῆς παρατάξεως μέχρι ἑνὸς σημείου μετὰ ὀλίγων καβαλλαρίων, τοὺς δὲ ἐκ πλαγίων ἔνθεν κἀκεῖθεν ἀνάγκη περιπατεῖν, ἵνα καὶ σκουλκεύωσι καὶ γινώσκωσι, μήποτε ἐγκρύμματά εἰσιν ἐχθρῶν ἢ δένδρα

2833. *τύλδον* **MW** || **2834.** *μετ' αὐτοὺς*] *μετὰ τοὺς* **P₁ V** || *σκουτάτους* omm. **AP₁V** || *καὶ* ex Urbicio inserui || **2836.** *γινομένας* **AP₁V** || *ἐφόδους ἀδοκήτως* **P₁V** || Verbis *τοὺς δὲ ψιλοὺς* § incipit in codicibus excepto **A** || **2839.** *κἀκεῖθεν* **WP₁V**, *κᾀκεῖθεν* **A**, *κακεῖθεν* **M** || *σκουλκευωσι* **W**, *σκουλεύωσι* **MP₁V**, *σκουλκευθῶσιν* **A**; in mge cod. **W** scholium: *σκοπευωσι* | *βιγλευωσι* || **2840.** *γινώσκωσιν* **WA** || *ἐγκρύμματα* (*εγκρ.* **W**) *εἰσὶν* **WA** || *ὦσιν* **P₁V.**

πεζῶν, ὀπίσω δὲ τοῦ τούλδου οἱ καβαλλάριοι καὶ πάλιν ὀπίσω τῶν καβαλλαρίων ἵνα περιπατῶσιν ὀλίγοι ψιλοὶ σκουταράτοι ὀπισθοφύλακες διὰ τὰς γινομένας πολλάκις ἐκ τῶν ὄπισθεν ἀνελπίστους ἐπιδρομὰς τῶν ἐχθρῶν. οἱ δὲ ψιλοὶ οἱ μὲν ὀφείλουσιν ἐκ⟨πορεύεσθαι⟩ τῆς παραταγῆς ἔμπροσθεν ἄχρις ἑνὸς μιλίου μετὰ ὀλίγων καβαλλαρίων, οἱ δὲ περιπατεῖν ἐκ πλαγίων ἔνθεν καὶ ἐκεῖθεν πρὸς τὸ βιγλίζειν αὐτοὺς καὶ καταμανθάνειν, μήποτε ἐγκρύμματα ὦσιν ἐχθρῶν ἢ δένδρα ἱστάμενα πεπριονισμένα τοὺς κορμοὺς καὶ ὀλίγον

794. *πορεύεσθαι* inserui || 796. *μήτε* p || 797. ante *ἐχθρῶν* inserit *ἀνδρῶν* C || *ἐχθρῶν* om. p.

†ἔχοντα[1] καὶ σχηματικῶς ἱστάμενα, ἅτινα ἀπὸ χειρῶν ὠθούμενα συντόμως ἐμφράξεις ποιοῦσιν ἐν τοῖς στενώμασι καὶ ἀγῶνα τοῖς αἰφνιδιαζομένοις παρέχουσιν. καὶ ταῦτα προερευνᾶν δεῖ διά τε ψιλῶν καὶ ὀλίγων καβαλλαρίων, ἅμα δὲ καὶ ἀποσοβεῖν τοὺς κεκρυμμένους ἐχθρούς, εἶθ' οὕτως παρέρχεσθαι τὴν παράταξιν. καί,

[1] ἐγγίζοντα M, ἔχοντα P et R; legendum ἐγγὺς ὄντα; ceterum hac in parte archetypum codicis Medicei corruptum fuisse e lectionum pravitate codicis colligas.

CONSTITUTIO IX.

ἱστάμενα, τὰ ὄπισθεν αὐτῶν πεπρισμένα, †ἔχοντα καὶ σχηματικῶς ἱστάμενα, ἅτινα ἀπὸ χειρῶν ὠθούμενα καὶ πίπτοντα κατὰ τῶν παρόδων ἐμφράξεις ποιοῦσιν ἐν [p. 113. M.] τοῖς στενώμασι καὶ ἀγῶνα τοῖς αἰφνιδιαζομένοις παρέχουσιν.

62. 61. Καὶ ταῦτα προερευνᾶν δεῖ διά τε ψιλῶν στρατιωτων καὶ ὀλίγων καβαλλαρίων, ἅμα δὲ καὶ ἀποσοβεῖν τοὺς κεκρυμμένους ἐχθρούς, εἶθ' οὕτως παρέρχεσθαι τὴν παράταξιν.

2841. Pro *τὰ ὄπισθεν αὐτῶν* **AP₁V** *ἅτινα* habent || *πεπρισμένα* **P₁V**, *περιπρισμένα* (cf. *Psaltes* p. 207) **MWA** || **2841—2842.** Pro *ἔχοντα . . . . ἅτινα* **AP₁V** habent: *μὲν εἰσὶ* (*εἰσὶν* **A**) *δι' ὅλου* (*διόλου* **A**) *τοὺς κορμούς· ὀλίγον δὲ* (*τι* addunt **P₁V**) *μόνον κρατοῦσι* (*κρατοῦσιν* **A**)· *καὶ* || **2842.** Post *χειρῶν* **AP₁V** inserunt *παρὰ τῶν ἐχθρῶν* || *ὠχούμενα* **P₁V** || **2843.** *ἐμφρ. ποιοῦσιν*] *ἐμφράσσουσι* **A**, *ἐμφράττουσι* **P₁V** || **2844.** *τὰ στενώματα* **AP₁V** || *στενώμασιν* **W** || **2848.** *εἶθ' οὕτως* **Migne**, *εἶθ' οὕτως* **MP₁V**, *εἴθ' οὕτως* **W**, *εἴθ' οὕτως* **A**.

μόνον κρατοῦντα, ἅπερ προωθοῦσιν οἱ ἐχθροὶ μετὰ τῶν χειρῶν αὐτῶν, καὶ πίπτουσιν p. 39. **Meurs.** *εἰς τὰς ὁδοὺς καὶ φράσσουσι τὰ στενώματα καὶ οὓς ἔχουσιν αἰφνιδιάζειν, εἰς ἀγῶνα || ἐμβάλλουσι.*

61. *ταῦτα ἁρμόζει προερευνᾶν καὶ καταμανθάνειν ψιλούς, ὡς εἴρηται, στρατιώτας καὶ ὀλίγους καβαλλαρίους, οἵτινες ὀφείλουσιν ἀποδιώκειν τοὺς ἔχοντας ἐγκρύμματα ἐχθρούς, καὶ οὕτως ἵνα διαβαίνῃ ἡ παραταγή.*

799. αἰφνιδιάσειν C.

20. Τοσαῦτα μὲν οὖν καὶ περὶ τοῦ τούλδου διὰ 20. βραχέων σοι διεξήλθομεν, ὦ στρατηγέ, εἴτε ἐν ἁμάξαις μετὰ πεζικοῦ στρατοῦ, εἴτε ἐν σαγμαρίοις μετὰ καβαλλαρίων, εἴτε ἄλλης ἀποσκευῆς τοιαύτης μετὰ συμμίκτου, ὡς ἂν ἐν μηδενὶ — ὅσον ἐστὶ τὸ δυνατὸν ἡμῖν, — ἐλλίπῃ σοι κεφαλαίῳ ἡ ἡμετέρα παρακέλευσις. ἑπόμενον δὲ τούτοις καὶ τὸν περὶ τῶν λεγομένων ἀπλίκτων διασαφήσομεν τῇ σῇ ἐνδοξότητι τύπον.

3052. *ἐὰν μὲν ἐκ* **A P₁ E** || **3052—3053.** *ὀπίσω δὲ τῆς παρ.* om. **P₁** || *ὄπισθεν* **E** || **3053.** *ἐκβάλλῃς* **A**, *ἐμβάλῃς* **P₁ E** || *ἔνθεν* **P₁ E** || **3054.** *πλαγία* **M** || **3055.** *ἐντὸς*] *ἔσωθεν* **A P₁ E** || *πανταχόθεν* posterius est insertum in **A** || **3060.** *μετὰ ἄλλης* **A**, sed *μετὰ* i. l. || *κατασκευῆς* **A P₁ E** || **3061.** Verba *ὅσον . . . . ἡμῖν* omm. **A P₁ E** || **3062.** *κεφαλαίῳ ἐλλίπῃ σοι* **A P₁ E** || *ἑπόμενον*] *ἀκολούθως* **A P₁ E** || **3062—3064.** Verba *Ἀκολούθως . . . . τύπον* in **A P₁ E** incohant constitutionem XI. || **3063.** *τούτων* **M** || *τὸν*] *τῶν* **M** || *ἀπλήκτων* **A**, *ἀπλήκτων* **E**, *ἀπλῆκτων* **P₁** || **3064.** *ἐκθήσομεν* **A P₁ E.**

χώρας τῶν πολεμίων, ἵνα περιπατῇ ἔμπροσθεν τῆς παραταγῆς τὸ τοῦλδον, ἂν δὲ ἐμβαίνῃς εἰς τὴν πολεμίαν, ἵνα περιπατῇ ὀπίσω, ἂν δὲ ἔχῃς φόβον ἀπὸ τοῦ ἑνὸς πλαγίου, ἵνα περιπατῇ τὸ τοῦλδον εἰς τὸ ἄλλο πλάγιον, ἂν δὲ ἔχῃς φόβον ἐξ ὅλων τῶν μερῶν, ἵνα περιπατῇ ἔσωθεν τῆς φάλαγγος.

20. *ταῦτα εἴπομεν ἐν συντόμῳ καὶ* περὶ τοῦ τούλδου, *εἴτε ἅμαξαι βαστάζουσιν αὐτὸ καὶ περιπατοῦσι μετὰ τοῦ πεζικοῦ στρατοῦ, εἴτε σαγμάρια καὶ περιπατοῦσι μετὰ τῶν καβαλλαρίων, κἄντε ἀμφότερα βαστάζωσιν αὐτό, καὶ ἅμαξαι καὶ σαγμάρια. ἀκόλουθον δ' ἐστὶν εἰπεῖν ἑξῆς καὶ* περὶ τῶν ἀπλήκτων.

963. ἔξωθεν p.

Urbicii XII, 20, 2: . . . . . . *δεῖ δὲ καὶ τὰ ἄπληκτα ἤτοι φοσσάτα ἀσφαλῶς ποιεῖν καί, εἰ μὲν ἐνδέχεται, εἰς ἀραιοτέρους τόπους σκηνοῦν, εἰ δὲ οὐκ ἀπαντᾷ, μὴ ἀμελῶς, ἀλλὰ σφιγκτῶς καὶ ὀχυρῶς ἀπλικεύειν καὶ ἀποφεύγειν τοὺς τόπους ἐκείνους, τοὺς ἔχοντας ἐκ τοῦ πλησίον ὑψηλοτέρους αὐτῶν* . . . .

CONSTITUTIO XI.

ΠΟΛΕΜΙΚΩΝ ΠΑΡΑΣΚΕΥΩΝ

διάταξις ια'.

Περὶ ἀπλίκτων.

1. 1. *Δεῖ οὖν τὰ ἄπλικτα ἤτοι τὰ φοσσάτα (κυρίως γὰρ φοσσάτον τὸ ἄπλικτον τοῦ ὅλου στρατοῦ καλεῖται), — ταῦτα οὖν ἀσφαλῶς σε ποιεῖν καί, εἰ μὲν ἐνδέχεται, εἰς ἀραιοτέρους τόπους κατασκηνοῦν τὰ στρατιωτικά, εἰ δὲ οὐκ ἀπαντᾷ, μὴ ἀμελῶς, ἀλλὰ σφιγκτῶς καὶ ὀχυρῶς ἀπλικεύειν καὶ ἀποφεύγειν τοὺς τόπους ἐκείνους, ὅσοι ἔχουσιν ἐκ τοῦ πλησίον ὑψηλο-*

3065. $\mathbf{P_1 E}$ omm. illud *ΠΟΛ. ΠΑΡ.* || **3067.** *ἀπλήκτων* $\mathbf{A P_1 E}$; cf. Prooemii §. 9. || **3068.** *ἅπλῆκτα* **A**, *ἀπλῆκτα* $\mathbf{P_1 E}$; retinui hic *ἄπλικτα* quamquam et *Urbicius ἄπληκτα* habet, cum inferius idem *Urbicius* etiam *ἀπλικεύειν*, *ἀπλίκτου*, *ἀπλικεύοντα* habeat in textu et mihi verisimile videatur etiam Leonem formas promiscue usitasse; ceterum cf. Praefatio || **3069.** *ἁπλῆκτον* **A**, *ἀπλῆκτον* $\mathbf{P_1 E}$ || **3071—3072.** Verba *εἰς ἀραιοτέρους* . . . . *ἀπαντᾷ* om. **E** || **3072.** *ἀπαντᾷ*] *ἐνδέχεται* $\mathbf{A P_1}$ || **3073.** *σφικτῶς* $\mathbf{P_1}$ || *ἁπληκεύειν* **A**, *ἀπληκεύειν* $\mathbf{P_1 E}$ || **3074.** *ἔχωσιν* $\mathbf{P_1}$.

Πῶς δεῖ τὸν στρατηγὸν τὰ ἄπληκτα ποιεῖν μετ' ἀσφαλείας;

1. *Δεῖ σε, ὦ στρατηγέ, δὲ τὰ ἄπληκτα μετ' ἀσφαλείας ποιεῖν καί, εἰ μὲν ἐνδέχεται, ἵνα ἀπληκεύῃ ὁ στρατὸς εἰς ἀραιοτέρους τόπους, εἰ δὲ οὐ χωρεῖται, μὴ ἀπληκεύωσιν ἀμελῶς,*

968. Inscriptionem om. C || 969. *ἐνδέχηται* p || 970. *ἀραιωτέρους* p.

Onas. Strat. Cap. VIII. [*Περὶ τοῦ ποιεῖν χάρακα*]. 1: *Ἐν δὲ δὴ τῇ τῶν ἐχθρῶν καταστρατοπεδεύων χάρακα περιβαλέσθω καὶ τάφρον, κἂν ἐφ' ἡμέραν μέλλῃ τὴν παρεμβολὴν θήσειν· ἀμετανόητος γὰρ ἡ τοιαύτη καὶ ἀσφαλὴς στρατοπεδεία διὰ τὰς αἰφνιδίους καὶ *ἀπροόπτους ἐπιβουλάς. καθιστάτω δὲ φυλακάς, κἂν μακρὰν εἶναι*

CONSTITUTIO XI.

τέρους αὐτῶν, ἵνα μὴ ἐκείνους οἱ ἐχθροὶ ἀθρόως ἢ ἐν νυκτὶ προκαταλαβόντες κακά τινα διαθήσουσι τῷ φοσσάτῳ.
2. ‖ *Ὅτ' ἂν τοίνυν ἐν τῇ τῶν ἐχθρῶν χώρᾳ στρα-* 2. c. 793.
τοπεδεύῃς, περιβαλοῦ τάφρον βαθεῖαν, κἂν εἰς μίαν
μόνην, ὡς εἴρηται, | ἡμέραν μέλλῃς ἀπλικεύειν· ἀμε- [p. 122. M.]
τανόητος γὰρ ἡ τοιαύτη στρατοπεδεία καὶ ἀσφαλὴς διὰ τὰς αἰφνιδίους καὶ ἀπροοράτους ἐπιβουλάς. κατα-

3075. *ἀθρόων* **M** ‖ **3076.** *κακόν τι* **A P_1 E** ‖ *διαθήσουσι*] retinui; sed cf. inferius ad XI, 12 Rec.-is Const. et versuum **2118, 2610.** adparatum crit. ‖ *τῷ φοσσάτῳ ἡμῶν ἐμποιήσωσιν* A P_1 E ‖ **3077. 3078.** *στρατοπεδεύῃ* P_1 E ‖ **3078.** *σούδαν* A P_1 E ‖ *καὶ* P_1 ‖ **3078—3079.** *εἰς μίαν . . . ἀπλ.*] om. **E**, *εἰς μίαν μόνην ἡμέραν, ὡς εἴρηται, ὀφείλης ἀπληκεύειν* **A**, *ὡς εἴρηται εἰς μίαν μόνην ἡμέραν ὀφείλεις ἀπληκεύειν* P_1 ‖ X, 14 ‖ **3081.** *αἰφνηδίους* **M** ‖ *ἀοράτους* **M** ‖ *ἐπιβολάς* voluit **Meursius.**

ἀλλὰ σφικτὰ καὶ ὀχυρά. ὀφείλουσι δὲ ἐκφεύγειν τοὺς τόπους ἐκείνους, ὅσοι ἔχουσιν αὐτῶν ὑψηλοτέρους τόπους, ἵνα μὴ ἐξαίφνης οἱ ἐχθροὶ προλάβωσι καὶ κρατήσωσιν αὐτοὺς καὶ βλάψωσι τὸ φοσσάτον.

2. *ὅταν δὲ ἀπληκεύσῃς εἰς τὴν χώραν τῶν ἐχθρῶν, ποίησον γύρωθεν σοῦδαν βαθεῖαν καὶ πρὸς μίαν μόνην ἡμέραν, ὡς εἴρηται, ἂν ἀπληκεύῃς ἐκεῖ. εἰς τοῦτό ποτε οὐ μὴ μετανοήσῃς, ἐπειδὴ ἀσφαλές ἐστι πρὸς τὰς αἰφνιδίους καὶ ἀνελπίστους μεταβολὰς τῶν ἐχθρῶν, κἂν τάχα δὲ καὶ νομίζῃς, ὅτι μακράν εἰσιν οἱ πολέμιοι, ἀλλὰ σὺ οὕτω ποίησον φυλακὰς εἰς τὸ ἄπληκτον, ὡς ἐγγὺς ὄντων αὐτῶν.*

971. *σφικτὰ*] v. app. crit. Leonis ‖ 972. *ὑψηλωτέρους* p ‖ *ἐξαίφνη* p ‖ 975. *καὶ* iteratur in C ‖ *τοῦτο ποτὲ* C p ‖ *μὴ* om. p; de constructione cf. *Blass-Debrunner*[4] p. 206; praeterea *Cecaum.* Strat. 18, 29 (leg. *λανθάνωσιν*), 30 (leg. *ὑποχωρήσῃς*); 39, 3; 49, 2; 55, 18; 64, 28; *Rec. Const.* „*Praecc. Nic.*" f. 133r: *οὐ γὰρ οὐ μὴ ἀστοχῶσι διὰ τὸ πάχος τῆς παραταγῆς τῶν πολεμίων* ‖ 977. *εἰσὶν* C p ‖ *συ* p ‖ *φυλακτάς* C.

*νομίζῃ τοὺς πολεμίους, ὡς ἐγγὺς ὄντων. 2. ὅποι δ' ἂν μέλλῃ πολυχρόνιον τίθεσθαι τὴν παρεμβολὴν οὐκ ἀντεπιόντων τῶν πολεμίων, ἐπὶ τῷ φθείρειν τὴν χώραν ποιούμενος τὴν μονὴν ἢ καὶ καιροῖς ἐφεδρείων βελτίοσιν, ἐκλεγέσθω χωρία μὴ *ἰλυώδη μηδὲ νοτερά· τὰ γὰρ τοιαῦτα ταῖς ἀναφοραῖς καὶ ταῖς ἀπὸ τῶν τόπων δυσωδίαις*

CONSTITUTIO XI.

στήσεις δὲ καὶ φυλακάς, κἂν μακρὰν εἶναι νομίζῃς τοὺς πολεμίους, ὡς ἐγγὺς ὄντων.

3. 3. *Ὅπου δὲ μέλλεις ποιεῖσθαι χρόνιον τὸ ἄπλικτον, μὴ ἐχθρῶν ἔφοδον δηλονότι ὑφορώμενος καὶ φθείρειν χώραν ἐναντίαν βουλόμενος, ἐκλέγου χωρία χρήσιμα, μὴ ὑλώδη ἤγουν ὕλας καὶ πηλὰ καὶ βάλτας ἔχοντα καὶ ὕδατα σεσημμένα. τὰ γὰρ τοιαῦτα διὰ τὰς ἀνα-*

3082. *φύλακας* **codd.**; recepi Onasandri *φυλακάς* conlata Rec. Const. || *καὶ* **P$_1$E** || *νομίζεις* **P$_1$E** || **3084.** §§. 3. 4.] Cff. „*Ined. Tact. Leonis*“ XXII, 1: *Τόπους δ' ἐν τοῖς ἀπλήκτοις ἐπιλέγεσθαι χρὴ ἐν μὲν παραχειμασίαις καὶ ἔνθα ὁ στρατηγὸς ἐν ἀφοβίᾳ διατελεῖ τοὺς πεδικοὺς μάλιστα, καὶ μήτε πετρώδεις μήτε μὲν τελματώδεις, μή⟨τε⟩ δὲ τοὺς πάνυ τοῖς ποταμοῖς πλησιάζοντας· ἐθιζόμενοι γὰρ συχνάκις πίνειν οἱ ἵπποι ῥαδίως ἐν λειψυδρίᾳ *νοσήσουσιν. 2. Ἔτι γε μὴν μηδὲ ἐπὶ πολλὰς ἐν τοῖς αὐτοῖς τόποις διατρίβειν ἡμέρας τὴν στρατιὰν χρή, ⟨διὰ⟩ τὰς ἐκ τῆς σήψεως ἐπισυμβαινούσας λοιμώδεις νόσους ἔν τε ἵπποις ὁμοῦ καὶ ἀνθρώποις, καὶ μάλιστα κατὰ τὴν θερινὴν ὥραν τήν τε ἐαρινὴν ὡσαύτως καὶ φθινοπωρινήν, κατὰ δὲ τὴν τοῦ χειμῶνος οὐκέτι, οὐδεὶς *γὰρ τότε τοιοῦτος φόβος ὕπεστι διὰ τὸ τῆς ὥρας κρυμῶδες κ. τ. λ.* || **Malim** *ὅπου δ' ἂν μέλλῃς* || *χρόνιον ποιεῖσθαι* **P$_1$E** || *ἀπλῆκτον* **A**, *ἀπλῆκτον* **P$_1$E** || **3087.** *ἤγουν ὕλας*] *μηδὲ δάση* **AP$_1$E** || *βαλτας* **M**; voc. etiam apud *Cecaum.* p. 28, 10. || **3088.** *διεφθαρμένα* **AP$_1$E**.

3. *ἔνθα δὲ φόβον ἐχθρῶν οὐκ ἔχεις καὶ μέλλεις ἀπληκεῦσαι καὶ χρονίσαι ἐκεῖ πρὸς*
fol. 18v *τὸ πραιδεῦσαι καὶ ἀφανίσαι τὴν χώραν τῶν πολεμίων, ἐκλέγου* | *τόπους χρησίμους εἰς ἄπληκτον, ἵνα μὴ ἔχωσι δάση καὶ πηλὰ καὶ βάλτας καὶ ὕδατα σεσημμένα. οἱ γὰρ τοιοῦτοι*

981. *ἔχουσιν* p || *βάντας* C, *βάνδα* p.

νόσους καὶ λοιμοὺς ἐμβάλλει στρατεύμασι καὶ πολλῶν μὲν ἐκάκωσε τὰς εὐεξίας, πολλοὺς δ' ἀπώλεσεν, ὥστε μὴ μόνον ὀλίγον, ἀλλὰ καὶ ἀσθενὲς ἀπολείπεσθαι ⟨τὸ⟩ στράτευμα.

IX. [*Περὶ τοῦ συνεχοῦς ὑπαλλάσσειν τὰ ἄπληκτα.*] 1. *Χρήσιμον δέ που καὶ σωτήριον στρατοπέδῳ μηδ' ἐπὶ τῆς αὐτῆς μένειν παρεμβολῆς, ἐὰν μὴ χειμαδεύῃ καὶ τοῖς σκηνώμασι διὰ τὴν ὥραν τοῦ καιροῦ πεπολισμένη τυγχάνῃ· αἱ γὰρ τῶν ἀναγκαίων*

CONSTITUTIO XI.

θυμιάσεις καὶ τὰς ἀπὸ τῶν τόπων δυσωδίας νοσηρά εἰσι καὶ λοιμοὺς καὶ νόσους φθαρτικὰς ἐμβάλλει εἰς τὰ στρατεύματα. καὶ πολλοὺς μὲν πολλάκις ἐκάκωσε τῇ νόσῳ, πολλοὺς δὲ καὶ ἀπώλεσεν, ὥστε μὴ μόνον ὀλίγον ἐκ τούτου γενέσθαι, ἀλλὰ καὶ ἀσθενὲς τὸ στράτευμα.

4. *Χρήσιμον δὲ καὶ σωτήριον τῷ στρατῷ γίνεσθαι,* 4.
ἐὰν μὴ ἐπὶ τοῦ αὐτοῦ μένῃ ἀπλίκτου πολὺν χρόνον, εἰ μὴ ἄρα χειμάζει καὶ διὰ τὸν καιρὸν ὥσπερ πεπολισμένα ἔχει τὰ ἄπλικτα τὸ στράτευμα. καὶ γὰρ καὶ

3089. *νοσερά* **codd.**; idem error librariorum Leonis atque Onasandri || **3089—3090.** *-α εἰσὶ* **ME** || **3095.** *γίνεται* **AP$_1$E** || **3096.** Verba *πολὺν χρόνον* post *ἐὰν μὴ* exhibent **AP$_1$E** || Verbi *μένῃ* *ῃ* in ras habet **A** || *ἀπλήκτου* **A**, *ἀπλήκτου* **P$_1$E** || **3097. 3098.** *κατησφαλισμένα καὶ πεπολισμένα* **AP$_1$E** || **3098.** *ἀπλίκτα* **M**, *ἀπλῆκτα* **A**, *ἀπλῆκτα* **P$_1$E** || *τὸ στράτευμα* omm. **AP$_1$E.**

τόποι ἔχουσι δυσωδίας καὶ εἰσὶ νοσώδεις καὶ ποιοῦσιν εἰς τὸν στρατὸν λοιμικὰ καὶ ἄλλα νοσήματα. καὶ ἐκ τούτου οὐ μόνον ὀλιγοῦται ὁ στρατός, ἀλλὰ γίνεται καὶ ἀσθενής.

4. *χρήσιμον δέ ἐστιν εἰς σωτηρίαν τοῦ στρατοῦ τὸ μὴ ποιεῖν χρόνον πολὺν εἰς τὸ ἄπληκτον, ἂν ἄρα μὴ χειμάζῃ ὁ στρατὸς ἐκεῖ καὶ διὰ τὸν καιρὸν ἔχῃ τὰ ἄπληκτα κατησφαλισμένα ὡς οἰκήματα. τὸ γὰρ χρονίζειν εἰς τὸ ἄπληκτον χωρὶς τοῦ χειμαδίου εἰς βλάβην*

985. *χειμάζει* p.

ἐκκρίσεις ἐπὶ τῶν αὐτῶν γιγνόμεναι χωρίων ἀτμοὺς διεφθορότας ἀναπέμπουσαι συμμεταβάλλουσι καὶ τὴν τοῦ περιέχοντος ἀέρος φύσιν. 2. Ἐν δὲ ταῖς χειμασίαις γυμναζέτω τὰ στρατόπεδα, καὶ πολεμικὰ καὶ σύντροφα ποιείσθω τοῖς δεινοῖς, μήτ᾽ ἀργεῖν ἐῶν, μήτε ῥαθυμεῖν· [cf. p. 135.]

CONSTITUTIO XI.

αἱ σωτηριώδεις ἐκκρίσεις ἐπὶ τῶν αὐτῶν γινόμεναι τόπων ἀτμοὺς διεφθαρμένους ἀναπέμπουσι καὶ συμμεταβάλλουσιν εἰς νόσον καὶ τὴν τοῦ περιέχοντος ἀέρος εὐεξίαν.

5. 5. *Ἐν δὲ ταῖς παραχειμασίαις πάντως, ὡς ἄνω που εἴρηται, γύμναζε τὰ στρατόπεδα καὶ πολεμικὰ ποίει, καὶ ἵνα συνεθίζωνται τοῖς πόνοις, ἵνα μήτε ἀργῶσι, μήτε ῥαθυμῶσιν.*

[p.123.M.] 6. 6. *Οὐ μόνον δὲ ὑγιεινῶν σε δεῖ φροντίζειν ἀπλίκτων, ὅτ᾽ ἂν ἄδειαν ἔχῃς ἀπὸ τῶν πολεμίων, ἀλλὰ καὶ πολλὰς καὶ διαφόρους ἔχειν αὐτὰ τὰς χορηγίας καὶ μάλιστα*

3099. *σωτηριώδης* **A** || In cod.-is **A** *ἐκκρίσεις ε ι ς* in ras. est scriptum || **3103.** *ἄνω που*] *ἀνωτέρω* **AP₁E** || VII, 2. || **3104.** *στρατεύματα* **P₁E** || *ποιεῖ* **E** || **3105.** *καὶ* omm. **AP₁E** || Pro *ἵνα* secundo] *καὶ* **AP₁E** || **3107.** *ὑγιεινῶν* ex *-εινον*, — *ἀπλήκτων* (sic) ex *-κτον* in **A** || *δεῖ σε* **AP₁E**, quibus verbis antecedit *ἀπλήκτων* in **A**, *ἀπλήκτων* in **P₁**, *ἀπλίκτων* — ut videtur — in **E**.

c. 1260 **Lami.** *ἐστὶ τοῦ στρατοῦ, ἐπειδὴ αἱ κοπρίαι καὶ τῶν ||| ἀνθρώπων καὶ τῶν ἀλόγων, κείμεναι πολὺν χρόνον εἰς τοὺς αὐτοὺς τόπους, ἀναπέμπουσιν ἀτμοὺς καὶ ποιοῦσι νοσώδη τὸν ἀέρα.*

5. *ὅταν δὲ παραχειμάζῃ που ὁ στρατός, γύμναζε, ὡς ἀνωτέρω εἴρηται, τὰ στρατεύματα καὶ ποίει αὐτὰ πολεμικά, ἵνα συνεθίζωνται πρὸς τοὺς πόνους καὶ μήτε ἀργῶσι, μήτε ῥαθυμῶσιν.*

6. *ὅταν δὲ ἔχῃ ἄδειαν ἀπὸ τῶν πολεμίων, μὴ φροντίζῃς μόνον διὰ ὑγιεινὰ ἄπληκτα εἰς τὸν στρατόν, ἀλλὰ καὶ διὰ χρείας τινὰς καὶ πραγματείας πολλὰς καὶ διαφόρους, κατεξ-*

987. *κοπριαὶ* p || 989. *πού* p, *ποῦ* C || 990. *ἀργῶσιν* p || 992. *ἔχει* p || 993. 994. *κατ᾽ ἐξαίρετον* p.

ἐν τῷ ἐξπεδίτῳ ἤγουν ἐν τῇ κατὰ καιρὸν τοῦ ὅλου στρατοῦ συναγωγῇ, ἔνθα μάλιστα καὶ χρονίζειν δέον.

7. Φροντίζειν δὲ καὶ τῶν ἐμπόρων, ἵνα μὴ ἀδικούμενοι λυποῦνται καὶ οὐ φέρωσι τὰς χορηγίας τῶν ἐπιτηδείων. 7.

8. Εἰ δέ τις καὶ ἐλπὶς ἐναντία ἐνοχλεῖ, ἀσφαλίζεσθαι ἢ ὀρύγμασιν ἢ πάλοις ἢ ὁλοκλήρῳ τάφρῳ, ὃ λέγουσι φόσσα, ἢ τριβόλοις ἢ οἰκοδομαῖς ἢ ἀπὸ ξύλων ἢ ἀπὸ λίθων ἢ ἄλλως, ὡς δύνασαι ἐπινοῆσαι. 8.

9. Ἔχειν δὲ καὶ βίγλας ἔξωθεν, ἀλλὰ καὶ ἁμάξας εἰς χαρακώσεις, ἐὰν εἰσιν, λίαν δυνατόν· ἢ χάρακα 9.

3112. πραγματευτῶν **AP_1E** || **3113.** λυπῶνται solus **A** || φέρουσι **codd.** (excepto **Meursii** codice) propter λυποῦνται || Non distinguuntur §§ 7 et 8 in **W** || **3115.** δε τις **W** || §§. 8. 9. 15.] Cff. „*Inedita Tactica Leonis*“ XXII, 4: *Τὸν δὲ λοιπὸν τόπον τάφρῳ διαλαμβανέτω χειροπονήτῳ πλάτος μὲν ἐξ ποδῶν ἐχούσῃ ἢ καὶ πέντε μάλιστα, βάθος δ᾽ ὀκτὼ ἢ καὶ ἑπτά, ὁ μέντοι ἐκ τοῦ ὀρύγματος συναγόμενος χοῦς μὴ ἐκτός, ἀλλ᾽ ἐντός, ὡς πρὸς τὸ ἄπληκτον δηλαδὴ πιπτέτω. σκληρῶν δὲ τῶν τόπων ὄντων ἐσθ᾽ ὅτε καὶ ῥαδίως δρύσσεσθαι μὴ παρεχομένων, ἢ τειχῶν ἐκ πλίνθων ἢ λίθων ἢ κορμοῦ δένδρων ἢ σταυρώμασιν ἢ ἁμαξῶν τῷ πλήθει τὴν παρεμβολὴν πᾶσι τρόποις ἀσφαλιζέσθω κ. τ. λ.* || **3116.** λέγουσιν **W** || ὃ λέγ. φ. omm. **AP_1E** || **3119.** ἔχεις **MW** || **3120.** Pro εἰς χαρ. — δυνατόν **AP_1E** habent: ἐὰν εἰσιν (ὦσι **P_1E**), γυρόθεν τοῦ ἀπλήκτου

αἱρετον εἰς τὸν καιρόν, ὅταν συνάγηται ὅλος ὁ στρατός· τότε γὰρ ἁρμόζει καὶ χρονίζειν εἰς τὸ ἄπληκτον.

7. φρόντιζε δὲ διὰ τοὺς πραγματευτάς, ἵνα μὴ ἀδικῶνται καὶ θλίβωνται καὶ οὐ φέρωσι πραγματείας εἰς τὸ ἄπληκτον.

8. εἰ δ᾽ ἐστὶ φόβος εἰς τοῦτο ἀπὸ τῶν πολεμίων, ὀφείλεις ἀσφαλίζεσθαι αὐτὸ καὶ ἢ ὀρύγματα || ποιεῖν ἢ πάλους πήσσειν ἢ σοῦδαν ὀρύσσειν ἢ τριβόλια ῥίπτειν ἢ κτίζειν μετὰ ξύλων ἢ λιθαρίων καὶ περιφράσσειν αὐτό. p. 48. **Meurs.**

9. εἰ δέ εἰσιν ἅμαξαι καὶ στήσεις αὐτὰς γύρωθεν τοῦ ἀπλήκτου, πολύ ἐστιν ὀχυρόν·

994. συνάγχηται p || 998. ἔσι C || 1000. παραφράσσειν p || 1001. εἰσὶν C || ἐσι p.

πήξεις, ὃ λέγεται σταβαρῶσαι, εἴτε ἀραιῶς, εἴτε πυκνότερον, ὡς ἡ δύναμις ἔχει, ἤτε διὰ ξύλων τελείων ἢ δένδρων κοπέντων.

10\. 10. *Δεῖ γὰρ πάντως ἀσφάλειαν ἔχειν τὸ ἄπλικτον, εἰ μὴ ἄρα ἐν τῇ ἡμετέρᾳ ἐστὶν χώρᾳ ἢ γυμνασίας χάριν γίνεται ἢ ἄλλου τινὸς χρειώδους τρόπου ἡ τοῦ στρατηγοῦ κίνησις.*

11\. 11. *Μάλιστα δὲ φροντίσεις καὶ τῶν πλησιοχώρων*
c. 796. || *ὑποτελῶν τῆς βασιλείας ἡμῶν, ἵνα μὴ ἀδικοῦνται παρὰ τῶν στρατιωτῶν, καὶ κατεξαίρετον τῶν γεωργῶν. δύο γὰρ ταῦτά μοι δοκοῦσιν ἐπιτηδεύματα λίαν ἀναγκαῖα*
[p. 124. M.] *πρὸς ἔθνους σύστασιν καὶ διαμονήν, γεωργικὴ* | *μὲν τρέφουσα καὶ αὔξουσα τοὺς στρατιώτας, στρατιωτικὴ*

(*ἀπλήκτου* **A**) *τιθέναι* || *εἰσι* **M** || *ἢ καὶ* **AP₁E** || **3121.** *πήσσειν* **AP₁E** || *ἀραίως* **MWP₁E** || *ἤτε*] *εἴτε* **AP₁E** || **3124.** *παντὸς* **A** || *ἀσφαλὲς* **AE**, *ἀσφαλῶς* **P₁** || *ἄπλικτον* **W**, *ἀπλήκτον* (sic!) **A**, *ἀπλῆκτον* **E**, *ἄπληκτον* **P₁** || **3125.** *ἄρα* **M**, *ἀρα* **W** || *ἐστιν* **W**, *ἐστὶ* **AP₁E** || **3129.** *ἀδικῶνται* **AP₁E** || **3131.** *ἀναγκαία* **P₁E** || **3132.** *διανομὴν* **A** || *γεωργικῆ* **P₁** || **3133.** *στρατιωτικη* **W**, *στρατιωτικῆ* **P₁E** || Cf. XX, 209 (ed. Mgn).

ἢ κόψον δένδρα καὶ σταβάρωσον αὐτὸ ἢ μετὰ τῶν τοιούτων δένδρων ἢ μετὰ ξύλων μεγάλων, εἴτε ἀραιά, εἴτε πυκνά, ὡς ἀπαντᾷ ἡ δύναμίς σου, ἢ καί, ὡς δύνασαι ἐπινοῆσαι. ἔχε δὲ καὶ βίγλας ἔξωθεν.

10\. *ἁρμόζει γάρ, ἵνα ἔχῃ ἀσφάλειαν τὸ ἄπληκτον, εἰ ἄρα οὐκ ἔστιν εἰς γῆν ἡμετέραν ἢ εἰ οὐ γίνεται διὰ γυμνασίαν τοῦ στρατοῦ ἢ δι' ἄλλην τινὰ χρείαν ἡ τοῦ στρατηγοῦ κίνησις.*

11\. *ἐξαιρέτως δὲ φρόντισον περὶ τῶν ἐχόντων χώρας πλησίον τῆς Ῥωμαϊκῆς γῆς ἐθνικῶν καὶ ὑποκειμένων τῇ βασιλείᾳ ἡμῶν, ἵνα μὴ ἀδικῶνται παρὰ τῶν στρατιωτῶν καὶ μάλιστα οἱ γεωργοί. δοκῶ γάρ, ὅτι ταῦτα τὰ δύο ἐπιτηδεύματά εἰσιν ἀναγκαῖα πολὺ πρὸς*
fol. 19r *σύστασιν ἔθνους καὶ διαμονήν, ἡ γεωργικὴ καὶ ἡ στρατιωτική· ἡ μὲν γὰρ γεωργικὴ* | *τρέφει*

1003. *δύναμις σου* p || **1005.** *ἐστὶν* p || **1006.** *στρατηγοῦ*] *στρατοῦ* voluit Meursius || **1010.** *τὰ δύο ταῦτα* C || *-τα εἰσὶν* C || **1011.** *στρατηγικὴ* p.

Urbicii VII, 13 [*Περὶ ἀπλήκτων καὶ τῆς ἐν αὐτοῖς τῶν ἀλόγων ἀποτροφῆς.*] *Χρὴ ἐν τοῖς ἀπλήκτοις τῶν πολεμίων ἐγγιζόντων καὶ προσδοκωμένου πολέμου Σκυθικοῦ μάλιστα γίνεσθαι, εἰ μὲν προλαβὼν ἐν φοσσάτῳ διάγει ὁ στρατὸς καὶ τοὺς ἐχθροὺς*

CONSTITUTIO XI.

δὲ ἐκδικοῦσα καὶ περιφυλάττουσα τοὺς γεωργούς. αἱ δὲ ἄλλαι ἐπιτηδεύσεις δεύτεραι τούτων ἐμοὶ καταφαίνονται. διὰ τοῦτο καὶ ἀναγκαῖον ἀεὶ τούτων ἐπιμελεῖσθαι καὶ τὰ ὑπὲρ αὐτῶν φροντίζειν ἑκάστοτε, ὡς ἂν καὶ οἱ στρατιῶται δικαίως τρεφόμενοι ἀνδραγαθοῦσιν καὶ οἱ γεωργοὶ μὴ ἀδικούμενοι εὐχαῖς αὐτοὺς ταῖς ἁρμοζούσαις προπέμπωσιν.

12. *Πολεμίων δὲ ἐγγιζόντων καὶ προσδοκωμένου* 12.
πολέμου, ἐὰν προλαβὼν ἐν φοσσάτῳ διάγῃς, ὦ στρατηγέ,

3135. *δευτέραι* **P_1E**, *δευτέρα* ex errore typographico **Lami,** in *δεύτερα* corr. a **Migneio** || **3138.** *-οῦσιν* dedi propter *πέμπουσιν, -ῶσιν* **MW**, *-ῶσι* **AP_1E** || **3140.** *-πέμπωσιν* **A**, *-πέμπωσι* **E**, *-πέμπῳσι* **P_1**, *-πέμπουσιν* **MW** || **3141.** et ss. Cf. XIII, 15 (ed. Mgn) || §§. 12—14.] Cff. „*Inedita Tactica Leonis*" XXII, 10: *Συγκομιζέτω δὲ τῶν ταγμάτων ἕκαστον ἐν τῷ ἀπλήκτῳ τριῶν ἢ τεσσάρων ἡμερῶν διατροφάς, χόρτον καὶ ἄχυρα καὶ κριθάς, ὡς ἂν μὴ διὰ τὴν τῶν τοιούτων συλλογὴν κινδύνοις ὅτι πλείστοις περιπίπτοιεν οἱ πολλοί, ἅτε δὴ τῶν πολεμίων ἐλλοχᾶν εἰωθότων ἐν τοῖς τοιούτοις καιροῖς.* || *προσδοκομένου* **P_1**, *προσδοκουμένου* **E.**

καὶ αὔξει τοὺς στρατιώτας, ἡ στρατιωτικὴ δὲ ἐκδικεῖ καὶ περιφυλάττει τοὺς γεωργούς. τὰ δὲ ἄλλα ἐπιτηδεύματα δεύτερά μοι φαίνεται πρὸς ταῦτα. διὰ τοῦτο ἀναγκαῖόν ἐστι τὸ ἔχειν ἐπιμέλειαν εἰς ταυτοὺς καὶ πάντοτε φροντίζειν τὰ ὑπὲρ αὐτῶν, ἵνα καὶ οἱ στρατιῶται μὴ ἀδίκως ἀλλὰ δικαίως ἀναλαμβανόμενοι τὰς τροφὰς αὐτῶν κατευοδῶνται καὶ ἀνδραγαθῶσιν καὶ οἱ γεωργοὶ μὴ ἀδικούμενοι παρ' αὐτῶν προπέμπωσιν αὐτοὺς μετὰ εὐχῆς τῆς ἁρμοζούσης.

12. *ὅταν δὲ πλησιάζωσιν οἱ πολέμιοι καὶ προσδοκᾶται πόλεμος, ἂν προλάβῃς καὶ*

1012. *ἡ δὲ στρατιωτικὴ* p. || 1013. *-ον ἐστὶ* C || 1014. *ταυτοὺς*] *αὐτοὺς* C ; cf. *Psaltes* p. 196 || *στρατιῶται* p || 1015. 1016. *ἀνδραγαθῶσι* p.

ἀναμένει ἐκεῖσε, εὐτρεπίζειν καὶ ἀποτιθέναι χόρτον ἢ ἄχυρον μιᾶς ἢ δευτέρας ἡμέρας τῶν ἀλόγων. εἰ δὲ κινήσει ὁ στρατὸς καὶ βούλεται ἐν ἑτέρῳ ἀπλήκτῳ ἀπελθεῖν κἀκεῖθεν παρατάξασθαι, ἀναγκαῖον χόρτον ἢ ἄχυρον κἂν μιᾶς ἡμέρας βαστάζειν καὶ οὕτως ἐν τῷ γινομένῳ φοσσάτῳ ἀποτίθεσθαι τοῦτον· ἴσως γὰρ οὐ συγχωροῦνται

CONSTITUTIO XI.

καὶ τοὺς ἐχθροὺς ἀναμένῃς ἐκεῖσε, δεῖ εὐτρεπίζειν καὶ ἀποτιθέναι χόρτον ἢ ἄχυρον ἢ κριθὴν μιᾶς ἢ δευτέρας ἡμέρας τῶν ἀλόγων, ὡς ἤδη σοι καὶ ἐν τῷ περὶ ὁδοιπορίας κεφαλαίῳ προδιεθέμεθα. καὶ πάλιν, ἐὰν ἐκεῖθεν βουληθῇς εἰς ἕτερον ἄπλικτον ἀπελθεῖν καὶ ἐκεῖθεν παρατάξασθαι, ἀναγκαῖον χόρτον καὶ ἄχυρον κἂν μιᾶς ἡμέρας βαστάζειν καὶ οὕτως ἐν τῷ γινομένῳ φοσσάτῳ ἀποτίθεσθαι τοῦτον· ἴσως γὰρ οὐ συγχωροῦνται ὑπὸ

3143. *ἀναμένεις* **P_1 E** || *ἐκεῖσε* saepe idem significasse, quod *ἐκεῖ*, plura adfert exempla *E. Kurtz* p. 68. operis „Zwei griechische Texte über die hl. Theophano, die Gemahlin Kaisers Leo VI" (Petropoli 1898) inscripti; Rec.-is Const. auctor ambiguus, quo verbum referret, posuit bis; non interpungitur in **P_1 E** et apud **Lamium**, post *ἐκεῖσε* interpungitur in **A**, ante *ἐκεῖσε* in **MW** et apud **Migneium** || *δεῖ* omm. **P_1 E** || *δεῖ σε* **A** || *διευτρεπίζειν* **P_1 E** || **3145. 3146.** X. 15. || **3147.** *ἀπλῆκτον* **A**, *ἀπλῄκτον* **P_1 E** || *καὶ* omm. **P_1 E** || **3148.** *κἀν* codd., *κἂν* **Lami.**

ἀπληκεύσῃς καὶ ὑπάρχῃς εἰς φοσσάτον καὶ ἀναμένῃς ἐκεῖ τοὺς ἐχθρούς, ἁρμόζῃς, ἵνα εὐτρεπίζῃς ἐκεῖ καὶ ἀποτιθῇς χόρτον ἢ ἄχυρον ἢ κριθὴν εἰς τοὺς ἵππους μιᾶς ἢ δύο ἡμερῶν, καθὼς εἰς τὸ περὶ ὁδοιπορίας προείπομεν. καὶ πάλιν ἂν θέλῃς μεταπεσεῖν
p. 49. **Meurs.** εἰς ἄλλο || ἄπληκτον πρὸς τὸ παρατάξαι ἀπεκεῖ πρὸς τοὺς πολεμίους, ἀναγκαῖόν ἐστιν, ἵνα χόρτον καὶ ἄχυρον κἂν μιᾶς ἡμέρας βαστάζῃ ὁ στρατὸς καὶ ἀποθήσει αὐτὸ ἐκεῖ. ἐπειδὴ συμβαίνει καὶ οὐ συγχωροῦνται ὑπὸ τῶν ἐχθρῶν οἱ δουλεύοντες παῖδες τοῖς στρατιώταις ἐξελθεῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ χορτολογῆσαι ἢ ἐκβαλεῖν τὰ ἄλογα εἰς βοσκήν.

1022. *ἀπ' ἐκεῖ* p || *-ον ἐστὶν* C || 1023. *ἀποθήσει*] retinui; cf. IX 28 et XI, 1; sed cf. et *Psaltes* p. 239 et adp. ad XVIII, 67. || 1024. *καὶ*] De construct. cf. „*Praec. Niceph.*" 8, 1. ubi interpunctionem ipse corrigas.

ὑπὸ τῶν ἐχθρῶν οἱ ⟨εἰς ὑπηρεσίαν ἀφωρισμένοι⟩[1] *πάλλικες αὐτῇ τῇ ἡμέρᾳ ἐξελθεῖν καὶ χορτολογῆσαι, οὔτε δὲ τὰ ἄλογα εἰς βοσκὴν ἐκβαλεῖν. εἰ δὲ οἱ ἐχθροὶ πολὺ ἐγγίζουσιν, οὐκ ἄτοπον ἐν τῷ περιπατεῖν, ὡς εἴρηται, ἕκαστον συνάγειν τὸν χόρτον, τὸν ὀφείλοντα ἀποτεθῆναι. οὐδὲ γὰρ μετὰ τὸ ἀπλικεῦσαι πολλάκις συγχωροῦνται οἱ παῖδες ἐξελθεῖν καὶ χορτολογῆσαι, πλειόνων μάλιστα καβαλλαρίων τῶν ἐχθρῶν εὑρισκομένων.*

Urbicii VII, 2, 7 |*Περὶ δαπάνης τῶν στρατιωτῶν καὶ*

[1] Cf. Leonis Tactica XIII, 15 (ed. Mgn).

CONSTITUTIO XI.

τῶν ἐχθρῶν οἱ εἰς δουλείαν ἀφωρισμένοι παῖδες αὐτῇ τῇ ἡμέρᾳ ἐξελθεῖν καὶ χορτολογῆσαι, οὔτε δὲ τὰ ἄλογα εἰς βοσκὴν ἐκβαλεῖν.

13. *Εἰ δὲ καὶ πολὺ ἐγγίζουσιν οἱ ἐχθροί, οὐκ ἄτοπον ἐν τῷ περιπατεῖν, ὡς εἴρηται, ἕκαστον συνάγειν τὸν χόρτον, τὸν ὀφείλοντα ἀποτεθῆναι. οὐδὲ γὰρ μετὰ τὸ ἀπλικεῦσαι πολλάκις συγχωροῦνται οἱ παῖδες ἐξελθεῖν καὶ χορτολογῆσαι, πλειόνων μάλιστα καβαλλαρίων τῶν ἐχθρῶν εὑρισκομένων.* 13.

14. *Καὶ πῶς γὰρ οὐ δίκαιον καὶ τὰ εἰς δευτέραν* 14.

3154. §. 13.] Cf. XIII. 16 (ed. Mgn) || **3155.** *ἔσχατον* **P₁** || **3157.** *ἀπληκεῦσαι* **A**, *ἀπληκεῦσαι* **P₁ E** || **3160.** *τὰ* om. **P₁** || §. 14.] Cf. XIII, 6 (ed. Mgn).

---

13. *ἂν δὲ καὶ πολὺ πλησιάζωσιν εἰς βοσκήν, οὐκ ἔστι κακόν τι, ἵνα, ὡς ἔτι περιπατεῖ ὁ στρατός, συνάγῃ ἕκαστος χόρτον, ὃν ὀφείλει ἀποθήσειν εἰς τὸ φοσσάτον. καὶ γάρ, ἀφ' οὗ ἀπληκεύσῃς, οὐ συγχωροῦνται πολλάκις οἱ παῖδες τῶν στρατιωτῶν ἐξελθεῖν ἐκ τοῦ φοσσάτου καὶ χορτολογῆσαι, καὶ μάλιστα, ὅταν ὦσι περισσότεροι οἱ καβαλλάριοι τῶν ἐχθρῶν.*

1026. *βοσκ* C || *οὐκ ἐστὶ* p || *κακὸν τί* C || 1028. *ἀφοῦ* C.

τῶν ἀλόγων αὐτῶν κατὰ ἄπληκτον.| *Χρὴ μέλλοντας συμβάλλειν καὶ τὰ εἰς δευτέραν τύχην ὁρῶντα προσκοπεῖν καὶ τὰς ἐκεῖθεν ἐναντιώσεις προασφαλίζεσθαι καὶ μάλιστα τὰς ἀποτροφὰς ἡμερῶν ὀλίγων τῶν τε στρατιωτῶν καὶ τῶν ἀλόγων, καὶ φοσσάτα ὀχυρώτερα ποιεῖν κατὰ τὸ ὑποτεταγμένον σχῆμα ἐν ἐπιτηδείοις τόποις, ἔνθα δυνατὸν τὸ ὕδωρ πάντως ἐκδικεῖσθαι ἐν καιρῷ ἀνάγκης.*

Urbicii XII, 8, 22 |cff. *Sext. Julii Afr.* Κεστ. II. 46 inde a *γνρόθεν*

CONSTITUTIO XI.

τύχην ἀφορᾶν πολλάκις καὶ τὰς ἐκεῖθεν ἐναντιώσεις σκοπεῖν καὶ προασφαλίζεσθαι τὰ μέλλοντα, μὴ μεταμέλεσθαι ὕστερον καὶ μάλιστα τὰς ἀποτροφὰς ἡμερῶν ὀλίγων τῶν τε στρατιωτῶν καὶ τῶν ἀλόγων, καὶ φοσσάτα [p. 195. M.] *ὀχυρὰ ποιεῖν ἐν ἐπιτηδείοις τόποις,* | *ἔνθα δυνατὸν εἴτε ὕδωρ ποταμοῦ εἴτε τόπος δυσχερὴς εἴτε ἄλλο τι ὀχύρωμα διεκδικεῖν τὸ φοσσάτον ἐν καιρῷ ἀνάγκης;*

15. 15. *Ἐν δὲ τοῖς ἀναγκαίοις τοῦ πεζικοῦ ἀπλίκτου*

3161. *ἀντιώσεις* **P**$_1$ || **3162.** *τὸν* **A P**$_1$ **E** || **3162. 3163.** *μετομέλλεσθαι* **M W**, *μεταμελεῖσθαι* **A P**$_1$ **E**, *μεταμέλεσθαι* **Meursii codex** || **3166.** *ἄλλό τι* **M A P**$_1$ **E**. *αλλοτι* **W** || **3168.** §§. 15. 16. 18.] Cff. „*Inedita Tactica Leonis*" XXII, 7: *Καὶ τὰ μὲν ἐκτὸς καὶ περὶ τὴν τάφρον εἴη ἂν ἱκανῶς εἰρημένα. τῆς γε μὴν τάφρου καὶ τοῦ χάρακος ἔσωθεν πρῶτα μὲν τὰς ἀνὰ τὸ στρατόπεδον ἁπάσας ἁμάξας συναγαγόντας *κύκλῳ δεῖ στῆσαι τοῦ στρατοπέδου, μεθ' ἃς αἱ τῶν πεζῶν σκηναὶ στήσονται κύκλῳ καὶ αὗται περὶ τὴν τάφρον, εἶτα κενὸς ἔστω κύκλωθεν τόπος*

c. 1261 **Lami.** 14. *συμφέρει γὰρ πολ|||λάκις σκοπεῖν καὶ τὰ ἐναντία καὶ προασφαλίζεσθαι τὰ μέλλοντα καὶ ὕστερον μὴ μετανοεῖν, ἀλλὰ ἔχειν τροφὰς ὀλίγων ἡμερῶν καὶ εἰς τοὺς στρατιώτας καὶ εἰς τὰ ἄλογα καὶ φοσσάτα ὀχυρὰ ποιεῖν εἰς ἐπιτηδείους τόπους, ὅπου, εἴτε ποταμὸς διαβαίνει εἴτε δύσκολος τόπος ἐστὶν εἴτε ἄλλο τι ὀχύρωμα, δυνατόν ἐστιν ἀσφάλειαν ἔχειν ἐξ αὐτοῦ τὸ φοσσάτον εἰς καιρὸν ἀνάγκης.*

1034. *ἄλλό τι* C p ut in XII, 128; sed cf. *Cecaum.* 35. 21; 40, 25, item vs. **404.** et Rec. Const. XII, 92 (*φύρμα τὶ* in C).

— ἐκ πολλοῦ διαστήματος τοῦ φοσσάτου.| *Πῶς δεῖ τὰ ἄπληκτα γίνεσθαι ἤτοι φοσσάτα;* 1. Ὅτι δεῖ τὰς ἁμάξας πέριξ καθιστᾶν τοῦ ἀπλίκτου, ἐν δὲ τοῖς ἀναγκαίοις καιροῖς καὶ οἰκοδομεῖν, ἐὰν ὁ τόπος ἔχῃ, καὶ ἔξωθεν τάφρον ποιεῖν πλάτους μὲν ποδῶν ε′ ἢ ἕξ, βάθους δὲ ἑπτὰ ἢ ὀκτώ, καὶ τὸ χῶμα ἐν τῇ ἐσωτέρᾳ ὄψει τεθῆναι, ἔξωθεν δὲ ταύτης τριβόλους καὶ φόσσας μικράς, ἐχούσας

CONSTITUTIO XI.

καὶ τὰς ἁμάξας, ὡς εἴρηται, περικύκλῳ καθίστα τοῦ ἀπλίκτου, εἴτε ἐν πεζικῷ στρατῷ ἢ καί, ἐὰν εἰσιν, καὶ ἐν καβαλλαρικῷ ἢ συμμίκτῳ, καὶ οἰκοδομεῖν, ὥς μοι εἴρηται, ἐὰν ὁ τόπος ἔχῃ, καὶ ἔξωθεν τράφον ποιεῖν πλάτους μὲν ποδῶν ε′ ἢ ἕξ, βάθους δὲ ἑπτὰ ἢ ὀκτώ, καὶ τὸ χῶμα ἐν τῇ ἐσωτέρᾳ ὄψει τεθῆναι, ἔξωθεν δὲ ταύτης

τριακοσίων ποδῶν μάλιστα, ὡς ἂν μὴ εὐχερῶς ὑπὸ τῶν πολεμίων οὔτε ἵπποι καὶ οἱ ἐν ταῖς σκηναῖς ἄνδρες κτείνοιντο. μετὰ δὲ τὸν κενόν τε τὸν τόπον αἱ τῶν τουρμάρχων εὐθὺς καὶ τῶν λοιπῶν ἡγεμόνων σκηναὶ στήσονται μέσον ἑκάστη τοῦ ἰδίου τάγματος, ἰδία μέντοι καὶ τῷ λοιπῷ πλήθει μὴ ἀναμεμιγμένη μήτε μὴν ὁδῷ πλησιάζουσα ἡ τοῦ στρατηγοῦ ἔστω σκηνή. οὕτω γὰρ ἂν θορύβων ἐκτὸς εἶη διατελοῦσα. || **3169.** *περὶ κύκλῳ* **A P_1 E** || **3170.** *ἀπλήκτου* **A**, *ἀπλήκτου* **P_1 E** || *πεζῷ* **P_1 E** || *εἰσίν* **W A**, *εἰσὶ* **M**, *ὦσιν* **P_1 E**; cf. vs. **3120.** || *καὶ* alterum omm. **A E** || **3171.** *ὡς* [*μοι*] **A**, *ὡς μοι* **P_1 E**; v. §. 8 || **3172.** *ἔχει* **P_1 E** || Ad *τραφον* (sic) in mge cod. **W** *ἢ τάφρον* legitur || **3173.** *πλάτος* **A P_1 E** || *ἢ καὶ ἕξ* **M**, *ἢ καὶ ἕξ* **P_1 E**, *ἢ ἕξ* **A**, *ἢ καὶ ξ* **W** || *βάθος* **A P_1 E** || *ἑπτὰ ἢ Π* **E**, *ἑπτὰ ἢ καὶ Π* **P_1** || **3174.** *τεθεῖναι* **W**, sed *εῖ* in ras., *τιθέναι* **A P_1 E**; cf. *Inc. script. Byz. saec.* X. 4, 17: *τὸ δὲ χῶμα τοῦ χάρακος τῷ ἔνδον μέρει παρατιθέσθω.*

15. *ὅπου δὲ ἔστιν ἐπίφοβον ἄπληκτον εἴτε πεζικοῦ στρατοῦ εἴτε καβαλλαρικοῦ ἢ καὶ τῶν δύο, ἂν ἔχῃς ἁμάξας, ποίει αὐτὰς γύρωθεν εἰς τὸ ἄπληκτον καὶ κτίζον κύκλῳ τοῦ ἀπλήκτου, ἂν ἔχῃ ὁ τόπος, ὡς ἀνωτέρω εἴπομεν, καὶ ὄρυσσε ἔξωθεν σοῦδαν πλάτος μὲν ποδῶν πέντε ἢ καὶ ἕξ, βάθος δὲ ποδῶν ἑπτὰ ἢ καὶ ὀκτώ, καὶ ἵνα ἀποπίπτῃ τὸ χῶμα τοῦ ὀρύγματος εἰς τὴν ἔσω ὄψιν. ἔξωθεν δὲ τῆς σούδας ῥίπτε τριβόλια | ἢ καὶ ὄρυσσε λάκκους* fol. 19v

1039. **ἀπόπτῃ** C, **πίπτῃ** p || **1040.** **ῥίπτει** C p || **λάκους** C.

⟨ἔνδον⟩ σκόλοπας, ἃς δεῖ ἐν γνώσει ποιεῖν τοὺς τοῦ στρατοῦ διὰ τὸ μὴ — ἀγνοοῦντας — ὑπ' αὐτῶν βλάπτεσθαι. ἔχειν δὲ τὴν περίμετρον τοῦ φοσσάτου τέσσαρας μὲν πόρτας τελειοτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ πλείονα, καὶ καθ' ἑκάστην πόρταν ἤτοι πύλην ἄρχοντα, τὸν πλησίον ἀπληκεύοντα πρὸς παραφυλακὴν αὐτῆς, ἔσω τε δὲ παρ' αὐτὰς τὰς ἁμάξας τὰς τῶν ψιλῶν τένδας ἁπλᾶς παρα-

CONSTITUTIO XI.

τριβόλους καὶ λάκκους μικρούς, ἔχοντας πάλους ἐντὸς πεπηγμένους, οὓς δεῖ ἐν γνώσει ποιεῖν τοὺς τοῦ στρατοῦ διὰ τὸ μὴ — ἀγνοοῦντας — ὑπ' αὐτῶν βλάπτεσθαι.

16. 16. Ἔχειν δὲ καὶ τὴν περίμετρον τοῦ φοσσάτου τέσσαρας μὲν πόρτας μεγαλωτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ πλείονα, καὶ καθ' ἑκάστην πόρταν ἤγουν ἔξοδον ἔχειν ἄρχοντα, τὸν πλησίον ἀπληκεύοντα πρὸς
c. 797. παραφυλακὴν αὐτῆς. ἔσω δὲ παρ' αὐτὰς τὰς ἁμάξας

3175. ἐντὸς] ἔσωθεν **AP₁E** || 3177. διὰ τὸ] ἵνα **AP₁E** || ἀγνοοῦντες **AP₁** || βλάπτωνται **AE**, βλάπτονται **P₁** || 3179. πόρτας τέσσαρας μεγαλὰς **W**, sed πόρτας i. l.; τέσσαρας μὲν [πόρτας] παρὰ τὰς **M**; ego legendum censeo: τέσσαρας μὲν πόρτας παράτας („portes de parade" = portas principales); cf. *Suidas* s. v. ἀντιπαράτορα || μεγαλοτέρας **P₁** || 3180. καθ' ἑκάστην **AP₁E** || 3180—3181. ἤγουν ἔξοδον omm. **AP₁E** || 3181—3182. πρὸς παρ. αὐτ. τὸν πλ. ἀπληκεύοντα (ἀπληκεύοντα **A**) **AP₁E** || 3182. παρὰ **AP₁E** || τὰς iteratur in **W**, sed alterum deletum.

μικροὺς καὶ πῆσσον πάλους ἔξωθεν αὐτῶν. τούτους δὲ γινωσκέτω ὁ στρατὸς διὰ τὸ μὴ — ἀγνοοῦντας — βλάπτεσθαι ἐξ αὐτῶν.

16. ἐχέτω δὲ τὸ περίφραγμα τοῦ φοσσάτου πύλας τέσσαρας, τὰς μεγαλωτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ περισσότερα, μία δὲ ἑκάστη πύλη ἐχέτω ἄρχοντα, τὸν ἀπληκεύοντα πλησίον αὐτῆς πρὸς τὸ φυλάττειν αὐτήν. ἔσωθεν δὲ τῆς σούδας ἐγγὺς εἰς τὰς ἁμάξας ἵνα στήκωσι τένδαι τῶν ψιλῶν, οἷον τῶν ῥιπταριστῶν ⟨καὶ⟩ τῶν τοξοτῶν,

1041. ἔσωθεν p; in C σ e corr. ex μ || 1045. σούδης C; τῆς σούδας etiam in *Praeceptis Nicephori* 19, 25 || 1046. στήκωσι] v. *Psaltes* p. 215. || καὶ inserui.

κειμένας καὶ μετ᾽ αὐτὰς εὔκαιρον διάστημα ὡς ποδῶν τριακοσίων ἢ τετρακοσίων,[1] καὶ τότε τὰς λοιπὰς ταγῆναι τένδας, ὥστε ἐν ταῖς τῶν ἐχθρῶν τοξείαις μὴ πλήττεσθαι τοὺς ἐν τῷ μέσῳ, ἀλλ᾽ ἐν τῷ εὐκαίρῳ τόπῳ πίπτειν τὰς σαγίττας. ἐν τῷ μέσῳ δὲ τοῦ φοσσάτου

[1] Cf. *Grosse* Das römisch-byzantinische Marschlager (Byz. Z. XXII [1913]) p. 109. Sic iam apud S. Jul. Africanum. Cf. etiam Leonis app. crit. ad vs. **3168**.

CONSTITUTIO XI.

τὰς τῶν ψιλῶν τένδας ἁπλᾶς παρακειμένας ἤγουν τῶν τε ἀκοντιστῶν καὶ τῶν τοξοτῶν, καὶ ἀπ᾽ ἐκείνων εὔκαιρον διάστημα ὡς ποδῶν τριακοσίων ἢ τετρακοσίων, καὶ τότε τὰς λοιπὰς ταγῆναι τένδας, ὥστε ἐν ταῖς τῶν ἐχθρῶν τοξείαις μὴ πλήττεσθαι τοὺς ἐν τῷ μέσῳ, ἀλλ᾽ ἐν τῷ εὐκαίρῳ τόπῳ πίπτειν τὰς σαγίττας.

17. *Ἐν τῷ μέσῳ δὲ τοῦ φοσσάτου σταυροειδῆ πλα-* 17[p.126.M.]

3183. *τὰς* omm. **codd.**; habet **Meursii codex** || *τέντας* **MW** || *ἁπλὰς* **codd.** || *ἤγουν* omm. **AP_1E** || *τῶν* omm. **AP_1E** || **3185.** *τ' ἢ υ'* **WP_1E,** *τριακοσίων ἢ υ'* **M** || **3186.** *τέντας* **MW** || *ἐν* omm. **P_1E** || **3187.** *τοὺς* **AP_1E,** *τὰς* **MW** || **3187–3188.** *ἀλλ᾽ ἐν τῷ ἀργῷ καὶ ἐν τῷ εὐκαίρῳ* **AP_1E** || **3188.** *σαγίτας* **AP_1E** || **3189.** Hanc ad §. legitur in mge cod. **W:** *πῶς ὀφείλει γίνεσθαι τὸ ἄπληκτον* || §§. 17. 16 19. 20.] Cff. „*Inedita Tactica Leonis*" XXII. 8: *Ὁδοὶ δὲ ἐν τῷ στρατοπέδῳ τέσσαρες ἔστωσαν ἀπ᾽ εὐθείας, ἀπό τε ἀνατολῆς ἐπὶ δύσιν καὶ ἀπὸ μεσημβρίας ἐπὶ βορρᾶν ποδῶν ἑκάστη πεντήκοντα, ὡς πέντε ἱππέες (!) ὁμοῦ δι᾽ αὐτῶν ἀκωλύτως διέρχεσθαι, ἰσάριθμοι δὲ ταῖς ὁδοῖς καὶ πύλαι ἔστωσαν μὴ ἐπ᾽ εὐθείας οὖσαι, ἀλλὰ ὡς γάμμα κάμπτουσαι. ἔστω δὲ καὶ διαχωρίσματα μέσον τῶν ταγμάτων ἐπὶ τὰς εἰρημένας ὁδοὺς ἐξιούσας *ρυμίδων*

πλὴν ἵνα μὴ στήκωσι διπλαῖ, ἀλλὰ εἰς ὄρδινος μόνον. καὶ ἀπὸ τῶν τοιούτων τενδῶν ἵνα καταλίπῃς τόπον ἀργὸν ὡς τριακοσίων ἢ τετρακοσίων ποδῶν καὶ τότε ἵνα σταθῶσιν αἱ λοιπαὶ τένδαι εἰς τὰ κατατόπια αὐτῶν. διὰ τοῦτο γὰρ ὀφείλει εἶναι μέσον τόπος ἀργός, ἵνα εἰς τοξείας τῶν ἐχθρῶν μὴ κρούωσιν αἱ σαγίται εἰς τὰς τένδας, ἀλλὰ πίπτωσιν εἰς τὸν ἀργὸν τόπον.

1047. *εἰς* p || *ὄρδινον* p.

σταυροειδῆ πλατεῖαν εἶναι, ἔχουσαν τὸ πλάτος ἄχρι τεσσαράκοντα ἢ πεντήκοντα ποδῶν, καὶ ἑκατέρωθεν παρακεῖσθαι αὐτῇ τὰς τένδας ῥυμοειδῶς κατ' ὄρδινον, ἐχούσας αὐτὰς ὀλίγον ἀπ' ἀλλήλων διάστημα. καὶ ἕκαστον μεράρχην μέσον τῶν ὑπ' αὐτὸν ἀπλικεύειν, τὸν

CONSTITUTIO XI.

τεῖαν εἶναι στρᾶταν τὸ πλάτος τεσσαράκοντα ἢ πεντήκοντα ποδῶν, καὶ ἔνθεν κἀκεῖθεν παρακεῖσθαι αὐτῇ τὰς τένδας ῥυμοειδῶς κατ' ὄρδινον, ἐχούσας αὐτὰς ὀλίγον ἀπ' ἀλλήλων διάστημα.

18. Καὶ ἕκαστον τουρμάρχην μέσον τῶν ὑπ' αὐτὸν
18. ἀπλικεύειν, σὲ δέ, τὸν στρατηγόν, εἰς ἓν μέρος καὶ μὴ

δίκην. πρὸς τούτοις καὶ περὶ αὐτὰς τὰς τοῦ στρατοπέδου πύλας τῶν κομήτων ἢ ἑκατοντάρχων οἱ κρείττους μετὰ τῶν ἰδίων ταγμάτων ἀποτετάχθωσαν ἐπὶ τῷ μὴ ἐξιέναι καὶ εἰσιέναι τοὺς βουλομένους, ὅτι δὴ καὶ βούλοιντο ἕκαστος καὶ μάλιστα περὶ ἡλίου δυσμάς. ἐχέτω δὲ καὶ τῶν ταξιαρχῶν ἕκαστος ἴδιον αὐτοῦ μανδάτορα, τῇ τοῦ στρατηγοῦ σκηνῇ παραμένοντα, ἐπὶ τῷ τὰ ἐν νυκτὶ δεδογμένα τῷ στρατηγῷ καταμανθάνειν. || **3189. 3190.** πλατείαν **M**, πλατειαν **W**, καὶ πλατεῖαν (πλατείαν $\mathbf{P_1}$, κλατείαν **E**) $\mathbf{A P_1 E}$ || **3190.** στράταν **M**, στραταν **W**, στρᾶταν ego, ὁδὸν ἔχουσαν $\mathbf{A P_1 E}$ || $\bar{\mu}$ ἢ $\bar{\nu}$ ποδῶν **M W**, τεσσαράκοντα πόδας ἢ καὶ πεντήκοντα **A**, $\bar{\mu}$ πόδας ἢ καὶ $\bar{\nu}$ **E**, $\bar{\mu}$ ἢ καὶ $\bar{\nu}$ $\mathbf{P_1}$ || **3191.** κἀκεῖθεν **A E** || **3192.** τένιας **M W** || κατὄρδινον $\mathbf{P_1}$, κατόρδινον **M W A E** || **3194.** Paragraphum ego distinxi; in editionibus et codd. verbis σὲ δὲ incipit § || Ad τῶν in cod. **W** scholium marginale: μεσον του ιδίου λαοῦ, quod habet Rec. Const. || ὑπ' αὐτῶν **E**, ὑπ' αὐτὰ $\bar{\nu}$ $\mathbf{P_1}$ || **3195.** ἐπληκεύειν **A**, ἀπληκεύειν $\mathbf{P_1 E}$; item infra **3199.** || δε **W**, om. $\mathbf{P_1}$.

17. εἰς δὲ τὴν μέσην τοῦ φοσσάτου ὀφείλει εἶναι διὰ σταυροῦ ὁδὸς πλατεῖα τεσσαράκοντα ἢ καὶ πεντήκοντα ποδῶν τὸ πλάτος, καὶ ἡ τοιαύτη ὁδὸς ἵνα ὑπάγῃ ὀρθία εἰς τὰς τέσσαρας πύλας, τὰς δημοσίας ἔνθεν καὶ ἐκεῖθεν τῆς ὁδοῦ, ἵνα στήκωσιν αἱ τένδαι ὀρδίνου καὶ ἀπέχωσιν ἀπ' ἀλλήλων ὀλίγον καὶ μέσον αὐτῶν ἵνα ὦσιν ὡσεὶ ῥῦμαι.

18. ἕκαστος δὲ τουρμάρχης ἵνα ἀπληκεύῃ μέσον τοῦ ἰδίου λαοῦ, σὺ δέ, στρατηγέ,

1055. **ὀρδίνου**] cf. IX, 55 || **ὡσεὶ** ego, ὡς C, αἱ p || **ῥύμαι** C p || 1056. **μέσου** p.

δὲ στρατηγὸν εἰς ἓν μέρος καὶ μὴ ἐν τῷ μέσῳ τῆς πλατείας, ἵνα μὴ καὶ τῇ μέσῃ ἐμποδίζῃ πρὸς πάροδον καὶ ὑπὸ τῶν παρερχομένων ὀχλῆται, τοὺς δὲ καβαλλαρίους, εἰ γένηται καιρὸς εἰσελθεῖν, ἐν τῷ μέσῳ τοῦ φοσσάτου ἀπλικεύειν καὶ μὴ ἐν τοῖς ἄκροις.

2. Ὅτι δεῖ τοὺς χρησίμους τῶν τριβούνων μετὰ τῶν ὑπ' αὐτοὺς ταγμάτων εἰς τὰς πόρτας τοῦ φοσσάτου ἀφορίζεσθαι, ὥστε μετὰ τὰς ἑσπερινὰς μίσσας μέχρι τοῦ σημείου μηδένα θαρρεῖν παρὰ γνώμην τοῦ στρατηγοῦ αὐτῶν ἐν τῷ φοσσάτῳ εἰσιέναι ἢ ἐξιέναι.

CONSTITUTIO XI.

ἐν τῷ μέσῳ τῆς πλατείας, ἵνα μὴ καὶ τῇ μέσῃ ἐμποδίζῃς πρὸς πάροδον καὶ ὑπὸ τῶν παρερχομένων ὀχλῆσαι, τοὺς δὲ καβαλλαρίους, ἐὰν γένηται καιρὸς εἰσελθεῖν, ἐν τῷ μέσῳ τοῦ φοσσάτου ἀπλικεύειν καὶ μὴ ἐν τοῖς ἄκροις.

19. Τοὺς δὲ χρησιμωτέρους τῶν κομήτων μετὰ τῶν 19.
ὑπ' αὐτοὺς ταγμάτων εἰς τὰς πόρτας τοῦ φοσσάτου ἀφορίζεσθαι, ὥστε μετὰ τὰς ἑσπερινὰς μίσσας μηδένα θαρρεῖν μέχρι τοῦ δεδομένου σημείου παρὰ γνώμην τοῦ στρατηγοῦ αὐτῶν εἰσέρχεσθαι ἢ ἐξέρχεσθαι ἐν τῷ

3196. *πλατειᾶς* **P₁** || **3197.** *ὀχλῆσαι* **W,** *ὀχλῆσε* **E,** *ὀχλῆσε* **P₁**; cf. *Psaltes* p. 209. || **3200.** *τῶν*] *τοὺς* **P₁E** || **3202.** *μίνσας* **AP₁E** || *μὴ δένα* **W** || **3203.** *διδομένου* **AP₁E** || **3204.** *ἢ*] *καὶ* **A.**

ἀπλήκευε εἰς ἓν μέρος καὶ μὴ μέσον τῆς πλατείας ὁδοῦ, ἵνα μὴ ἐμποδίσῃς καὶ τὴν μέσην εἰς τὸ διαβαίνειν τὸν λαὸν καὶ πάλιν ἔχῃς ὄχλησιν ἐξ αὐτῶν. οἱ δὲ καβαλλάριοι, ἂν γένηται καιρὸς ἵνα ἐμβῶσιν εἰς τὸ φοσσάτον, ὀφείλουσιν ἀπληκεύειν μέσον τοῦ φοσσάτου καὶ μὴ εἰς τὰς ἄκρας.

19. οἱ δὲ χρησιμώτεροι τῶν κομήτων μετὰ τοῦ λαοῦ αὐτῶν ἀφοριζέσθωσαν εἰς τὰς πύλας τοῦ φοσσάτου πρὸς τὸ μὴ ἐμβαίνειν τινὰ εἰς αὐτὸ ἢ ἐκβαίνειν παρὰ γνώμην τοῦ
στρατηγοῦ, ἀφ' ἧς δοθῶσιν αἱ μίνσαι || τὴν ἑσπέραν, ἕως οὗ πάλιν δοθῇ τὸ σημεῖον. p. 51. Monrs.

1061. χρησιμότεροι p || κομητῶν C || 1063. ἀφῆς C.

Καὶ τὰς νυκτερινὰς βίγλας τῶν καβαλλαρίων ἔσωθεν ὄντων ἀσφαλῶς γίνεσθαι.[1]

3. *Ὅτι δεῖ ἕκαστον ἄρχοντα μέρους μανδάτωρα ἴδιον ἀφορίσαι ἐν τῇ σκηνῇ τοῦ στρατηγοῦ προσεδρεύοντα, τοὺς δὲ τῶν τριβούνων τῇ σκηνῇ τοῦ μεράρχου, ἵνα διὰ τούτων συντόμως † γινώσκουσι*[2] *πάντες τὰ ἐντελλόμενα.*

4. *Ὅτι δεῖ τὸν στρατηγὸν περὶ αὐτὸν ἔχειν τουβάτωράς τε καὶ*

[1] Verba *τὰς νυκτερινὰς . . . . γίνεσθαι* (initio **Ὅτι δεῖ**) iterantur infra inter 8 et 9. [2] Legendum *γινώσκωσι*, quanquam P V *γινώσκονται* habent.

CONSTITUTIO XI.

20. *φοσσάτῳ. τὰς δὲ νυκτερινὰς βίγλας τῶν καβαλλαρίων ἔσωθεν ὄντων ἀσφαλῶς γίνεσθαι.*

20. *Ἕκαστος δὲ τουρμάρχης ἵνα ἴδιον μανδάτωρα ἀφορίσῃ, ὥστε εἶναι εἰς τὴν κόρτην τοῦ στρατηγοῦ προσεδρεύοντα. ὁμοίως δὲ καὶ τοὺς δρουγγαρίους καὶ κόμητας εἰς τὴν τένδαν τοῦ τουρμάρχου, ἵνα διὰ τούτων συντόμως † γινώσκουσι πάντες τὰ ἐντελλόμενα.*

21. 21. *Ἔχειν δέ σε, ὦ στρατηγέ, περὶ ἑαυτὸν βουκινά-*

3207. Paragraphus distinguitur in **W**; in ceteris (?) codicibus verbis *τὰς δὲ νυκτερινάς* incipit || *μανδάτορα* **M W** || **3210.** *τένταν* **M W** || **3212.** *περὶ σεαυτὸν* **A P₁ E**; cf. *Const. Porph.* De adm. imp. p. 74, 10; *Kühner-Gerth* p. 571. || **3212. 3213.** *βουκινάτορας* **M W**.

20. *ὅταν δὲ ὦσιν οἱ καβαλλάριοι ἔσωθεν τοῦ φοσσάτου, ὀφείλουσιν αἱ βίγλαι τῆς νυκτὸς μετ᾽ ἀσφαλείας πολλῆς γίνεσθαι. ἕκαστος δὲ τουρμάρχης ἀφοριζέτω ἴδιον μανδάτορα πρὸς τὸ παραμένειν αὐτὸν εἰς τὴν κόρτην τοῦ στρατηγοῦ. ὁμοίως δὲ καὶ οἱ δρουγγάριοι καὶ οἱ κόμητες ἐχέτωσαν παραμονὰς εἰς τὴν τένδαν τοῦ τουρμάρχου πρὸς τὸ μανθάνειν δι᾽ αὐτῶν συντόμως τὰ παραγγελλόμενα.*

fol. 20r 21. | *ἔχε δὲ ἐγγὺς σεαυτοῦ καὶ βουκινάτορας μικρῶν βουκίνων καὶ μεγάλων. καὶ ὅτι*

1066. *πρὸς τὸ*] p addit *μὴ* || 1069. *βυκινάτορας* et *βυκίνων* Cp.

βουκινάτωρας. καὶ τῆς τούβας τρισσάκις σημαινούσης περὶ ἑσπέραν παύεσθαι τῶν πόνων καὶ δειπνοῦντας ψάλλειν τὸν τρισάγιον ὕμνον. καὶ ἀφορίζεσθαί τινας τῶν ἰδικῶν τοῦ στρατηγοῦ καταμανθάνοντας τὰς βίγλας καὶ σιωπὴν πᾶσι παραγγέλλοντας, ὥστε μηδὲ ἐξ ὀνόματος θαρρεῖν μετὰ κραυγῆς καλεῖν τὸν ἑταῖρον αὐτοῦ. πολλὰ γὰρ τὰ ἐκ τῆς σιωπῆς ἀγαθὰ καὶ ὅτι πολλάκις κατάσκοποι πολεμίων

CONSTITUTIO XI.

τωρας καὶ μικρῶν βουκίνων καὶ μεγάλων. καὶ τοῦ εἰθισμένου βουκίνου σαλπίζοντος περὶ ἑσπέραν | παύεσθαι [p. 127. M.] τῶν πόνων καὶ δειπνοῦντας ψάλλειν τὸν τρισάγιον ὕμνον.

22. Ἀφορίζεσθαι δὲ καί τινας ἰδικούς σου ἀνθρώπους 22. πιστούς, ἵνα καταμανθάνωσι τὰς βίγλας καὶ πᾶσι παραγγέλλωσι σιωπὴν ἔχειν, ὥστε ἐξ ὀνόματος μὴ θαρρεῖν μετὰ κραυγῆς καλεῖν τὸν ἑταῖρον αὐτοῦ· πολλὰ γὰρ τὰ ἐκ τῆς σιωπῆς ἀγαθὰ καὶ ὅτι πολλάκις κατά-

3214. *ἐθισμένου* **P₁E** || **3215.** Cff. **Meursii** et **du Cange-ii** Glossaria s. v. *τρισάγιον* || **3217. §§. 22. 23.]** Cff. „*Inedita Tactica Leonis*" XXII, 9: *Ἁρμόζει δὲ ἔν τε τῇ τοῦ ὄρθρου καὶ ἑσπερινοῦ ὑμνῳδίᾳ τὴν λεγομένην ἐκ Πνεύματος ἀεὶ γίνεσθαι σιωπήν τε μετὰ τὸν δεῖπνον παρασκευάζειν καὶ πάντα θόρυβον ἀναστέλλειν, καὶ αὐλοὺς καὶ ὀρχήματα, καὶ — συνελόντα φάναι — πᾶσαν ἀταξίαν ἐκ μέσου περιαιρεῖν.* || *καὶ τινὰς* **P₁** || *ἰδίκους* **P₁** || **3219.** *παραγγέλλουσι* **MW** *ἄγειν* **P₁E** || **3221.** *τὰ* omm. **P₁E** || Verbo *ἀγαθά* explicit § in **W.**

λαλήσει τὸ βούκινον, ὅπερ ἔχεις κατὰ συνήθειαν πρὸς τὴν ἑσπέραν, τότε ἀφιέτωσαν ὁ λαὸς τὰ ἔργα αὐτῶν καὶ δειπνείτωσαν, εἶτα ψαλλέτωσαν τὸ τρισάγιον.

22. ἀφόριζον δὲ καὶ ἀνθρώπους σου πιστοὺς πρὸς τὸ καταμανθάνειν τὰς βίγλας καὶ παραγγέλλειν πάντας, ἵνα ἔχωσι σιγήν, ὥστε μηδὲ μεγάλως κράζειν τινὰ τὸν ||| ἑταῖρον c. 1264 **Lami.**

1070. *βύκινον* p: cff. vss. 40., 142., 818., 887., 1110. || *ἔχῃς* p || Verba *πρὸς τὴν ἑσπέραν* propter *ἔχεις* ad *κατὰ συνήθειαν* rettuli; ceterum idem ferme dicit R. Const. ac Leo || *τότε* om. p || **1071.** *ψαλλάτωσαν* C || 1072. *ἀφόρισον* p || *δὲ* om. p || Verba *σου* (*σοῦ* C) . . . . *βίγλας* om. p || **1073.** *μὴ δὲ* C || *τινὰ τῶν* p.

*ἐντεῦθεν ἐν στρατοπέδῳ λανθάνοντες ἐφωράθησαν, ὥσπερ καὶ ἐκ τῆς κραυγῆς πολλὰ τὰ συμβαίνοντα βλαβερά. κωλύειν δὲ καὶ τὰς ὀρχήσεις καὶ τοὺς κρότους καὶ μάλιστα μετὰ τὰς ἑσπερινὰς μίσσας, ὡς μὴ μόνον ἀκόσμους καὶ θορυβώδεις ⟨ποιοῦντα ἀταξίας⟩, ἀλλὰ καὶ κόπους ἀνωφελεῖς * παρέχοντα. μέλλοντος δὲ μεθίστασθαι τοῦ φοσσάτου καὶ μανδάτα*

CONSTITUTIO XI.

σκοποι πολεμίων ἐκ τούτου τοῦ τρόπου ἐν τῷ στρατοπέδῳ λανθάνοντες ἐφωράθησαν καὶ ἐκρατήθησαν, ὥσπερ καὶ ἐκ τῆς κραυγῆς πολλὰ τὰ συμβαίνοντα βλαβερά.

23. 23. *Κωλύειν δὲ καὶ τὰς ὀρχήσεις καὶ μάλιστα τὰς ἑσπερινὰς καὶ ἄλλο εἴτι παίγνιον, ὡς μὴ μόνον ἀκόσμους καὶ θορυβώδεις ποιοῦντα ἀταξίας, ἀλλὰ καὶ κόπους ἀνωφελεῖς παρέχοντα.*

24. 24. *Ἐὰν δὲ μέλλῃς μεθιστᾶν εἰς ἕτερον τόπον ἀπὸ ἀπλίκτου τὸ στράτευμα καὶ βούλει λαθεῖν τοὺς πο-*
c. 800. *λεμίους, ἢ τόπους ὀχυροὺς προκαταλαβέσθαι προαιρῇ-*

3227. *θορυβοειδεις* **M**, *θορυβώδεις* (ώ in ras. **W**) **ceteri** || *ποιοῦντας* **W**, *ποιοῦντας* **M**, *ποιοῦνται* **P₁** || **3228.** *σκόπους* **P₁ E** || *παρέχοντας* **W** || **3229 3230.** **A** *ἀπὸ ἀπλήκτου*, **P₁ E** *ἀπὸ ἀπλήκτου* inserunt ante *εἰς ἕτερον* || **3231.** *προκαταλαβεῖν* **A P₁ E** || **3231. 3232.** *προαιρῆσαι*] cf. *Psaltes* p. 209; *σπουδάζῃς* **A P₁ E.**

καὶ φίλον αὐτοῦ. πολλὰ γὰρ τὰ ἐκ τῆς σιγῆς καλά, ὥσπερ καὶ πλεῖστα τὰ ἐκ τοῦ θορύβου βλαβερά· καὶ κατάσκοποι πολεμίων λανθάνοντες εἰς τὸ φοσσάτον ἐνοήθησαν πολλάκις ἐκ τῆς σιγῆς καὶ ἐκρατήθησαν.

23. *Κώλυε δὲ καὶ τὰ ὀρχήματα, κατεξαίρετον δὲ † τὰς γινομένας τῆς ἑσπέρας καὶ εἴτι ἄλλο παίγνιον γίνεται εἰς τὸ φοσσάτον. ποιοῦσι γὰρ τοιαῦτα παίγνια θορύβους καὶ ἀταξίας καὶ κόπους ἀνωφελεῖς εἰς τὸν στρατόν.*

24. *εἰ δὲ μέλλεις μεταπεσεῖν ἀπὸ ἀπλήκτου εἰς ἄλλο ἄπληκτον πρὸς τὸ λαβεῖν καὶ ἀπληκεῦσαι εἰς τόπους ὀχυροὺς καὶ φεύγεις τοὺς μὴ ὄντας τοιούτους διά τινας βλάβας ἐκ*

1077. **κατ' ἐξαίρετον** p || **δὲ** om. C || **τὰς γινομένας** (C: **τὰ γινόμενα**) retinui, cum auctori recensionis vocabulum **ὀρχήσεις** in mentem venisse certum haberem || 1081. **φεύγῃς** C p || **διά**] **κατά** p.

σαι ἢ τοὺς μὴ ὄντας τοιούτους φεύγῃς διά τινας ἐκ τῶν πολεμίων βλάβας· ⟨εἰ⟩ καὶ οὐ βούλει ἐλθεῖν εἰς ἀνάγκην τοῦ μάχεσθαι, πυρὰ πολλὰ καύσας ἀναχώρει. βλέποντες γὰρ οἱ πολέμιοι τὰ φῶτα, δόξουσιν ἔτι ἐν τῷ ἀπλίκτῳ σε μένειν, καὶ ἐκτελέσεις σου τὸ βούλημα.

25. Τοῦτο δὲ καὶ Νικηφόρον ἴσμεν, τὸν ἡμέτερον 25. στρατηγόν, πεποιηκέναι, ὅτε κατὰ Συρίας ἀπεστάλη παρ' ἡμῶν μετὰ δυνάμεως ἱκανῆς πολλήν τε ποιησά-

3232. *μὴ* omm. **MW** || *τοὺς μὴ τοιούτους ὄντας* **AP$_1$E** || **3233.** *εἰ* inserui || *ἐλθεῖν* omm. **AP$_1$E** || **3233—3234.** *εἰς ἀνάγκην τοῦ*] *ἐξ ἀναγκαίου* **AP$_1$E** || **3234.** *πυρκαϊὰς πολλὰς* **AP$_1$E** || *ἅψας* **AP$_1$** || **3236.** *ἀπλήκτῳ* **A,** *ἀπλήκτῳ* **P$_1$E** || **3237.** *οἴδαμεν* **AP$_1$E** || **3237—3246.** Cf. XVII, 83 (Mgn). Laudetur iam hic *Nicephori Phocae* operis De velit. bellica inscr. cap. XX: „*τοῦτο δεῖ σε, ὦ στρατηγέ, διαπράξασθαι, ὅπερ καὶ ἐν τοῖς ἄνω χρόνοις γέγονε, καθὼς ἡ συντεθεῖσα στρατηγικὴ βίβλος παρὰ τοῦ ἀοιδίμου καὶ σοφωτάτου βασιλέως Λέοντος διαλαμβάνει, ἣ καὶ οἱ ἐντυχόντες σαφῶς τὰ περὶ τῶν λεχθησομένων ἐπίστανται. *τὸν γὰρ κατ' ἐκεῖνον καιρὸν ὁ τῶν Κιλίκων ἅπας λαὸς μετὰ βαρείας δυνάμεως κατὰ τοῦ θέματος τῶν Ἀνατολικῶν ἐξελθὼν καὶ τὸ κάστρον Μισθείας σφοδρῶς πολιορκῶν, τῷ τηνικαῦτα ἀρχηγῷ τοῦ στρατοῦ ὁ βασιλεύων προστέταχε μετὰ τῶν θεμάτων καὶ ταγμάτων κατὰ τῆς τῶν Κιλίκων χώρας ἐπιστρατεῦσαι· δύο δὲ τῶν στρατηγῶν τοῦ τε Ἀνατολικοῦ καὶ τοῦ Ὀψικίου ὑπολείπεσθαι, τοῦ πρὸς ἐκδίκησιν, ὡς οἷόν τε, τοῦ τε κάστρου καὶ τῆς λοιπῆς χώρας τοῖς πολεμίοις ἀντικαθίστασθαι ὁ μέντοι τῶν στρατευμάτων δημαγωγός, ἦν δὲ τότε Νικηφόρος ὁ ἐπίκλην Φωκᾶς,) διὰ τῆς ὁδοῦ τῆς τοῦ Μαυριανοῦ λεγομένης κατὰ τῆς χώρας Ἀδάνης τὴν ἐπέλευσιν ποιησάμενος, λείαν ὅτι πλείστην ἠλάσατο.*“ || **3239.** *δὲ* **P$_1$E.**

τῶν πολεμίων καί, ὅτε δὲ μεταπίπτεις, βούλει λαθεῖν τοὺς πολεμίους διὰ τὸ μὴ ἀναγκασθῆναι παρ' αὐτῶν εἰς τὸ ποιῆσαι πόλεμον, ἅψον λαμπρὰ πολλὰ εἰς τὸ ἄπληκτον, ἔνθα ὑπάρχεις, καὶ οὕτως ἀναχώρει. βλέποντες γὰρ οἱ πολέμιοι τὰ λαμπρά, ἐκεῖνοι μὲν ἐλπίζουσιν, ὅτι εἰς τὸ ἄπληκτον ὑπάρχεις, σὺ δὲ ποιεῖς τό θέλημά σου καὶ μεταπίπτεις.

25. *τοῦτο* || *δὲ γινώσκομεν, ὅτι ἐποίησε καὶ Νικηφόρος, ὁ ἡμέτερος στρατηγός, ὅτε* p. 52. Meurs. *ἀπεστάλη παρ' ἡμῶν κατὰ τὴν Συρίαν μετὰ δυνάμεως πολλῆς. κουρσεύσας γὰρ τὴν Συρίαν,*

1082. ***βούλη*** p || 1084. ***ὑπάρχῃς*** p || 1085. ***θέλημαμά*** p.

[p. 128. M.] μενος λεηλασίαν καὶ οὕτω μετατεθεὶς ἐν μέσῃ τῇ πολεμίᾳ, τῶν ἐχθρῶν αὐτοῦ που συνηγμένων, οὓς Ἀπουλφέρ, ὁ εὐνοῦχος, ὁ τῶν Σαρακηνῶν στρατηγὸς ἐπεφέρετο ἤγουν τῶν βαρβαρικῶν δυνάμεων τήν τε αἰχμαλωσίαν τὴν βαρβαρικὴν καὶ πᾶσαν τὴν ἄλλην πραῖδαν, ἣν εἶχεν, ἀβλαβῶς διεσώσατο, λεηλατήσας τὴν πολεμίαν.

26. 26. Κατὰ δὲ τὴν Βουλγάρων ἐκστρατείαν καὶ ἕτερον αὐτῷ ἐπενοήθη πρὸς φυλακὴν ἀπλίκτου χρήσιμον, ὅπερ χρὴ μὴ λήθῃ παραπεμφθῆναι, ὁμοῦ τε γὰρ ἐλαφρὸν εἰς βαστάγην καὶ ἀναγκαῖον εἰς φυλακὴν ἐγνωρίσθη. ἦν δὲ τοιοῦτον· κανόνια δύο σύμμετρα λαβὸν ξύλινα ἀνὰ τριῶν που σπιθαμῶν ἢ ὀλίγῳ πλέον λαβδαραίαν συνέ-

3240. *λεηλασίαν*] *πραῖδαν* (*πρέδαν* **P₁ E**) *καὶ ἀφανισμὸν* **A P₁ E** || *μετατεθεὶς* **E** || **3242.** *ἀπούλφερ* **A P₁ E** || Cf. *Schlumberger* Nicéphore Phocas (Parisiis, 1890) p. 199 et ss. || **3243.** Verba *ἤγουν . . . . δυνάμεων* omm. **A P₁ E** || *τήν τε γὰρ* **P₁ E** || **3245.** *πραιδαν* **W**, *πραίδαν* **P₁ E** | *λεηλατήσας*] *ἀφανίσας* **A P₁ E** || **3247.** *βουλγαρίων* **P₁ E** || **3248.** *ἀπλήκτοι* **A**, *ἀπλήκτου* **P₁ E** || **3251.** *δύο κανόνια* **A P₁ E** || *λαβὼν* (*λαβῶν* **E**) *σύμμετρον* **P₁ E** || **3252.** *ἀνὰ* omm. **M W**; cf. vs. **1433.**; *τριῶν* (*ἀνὰ τρεῖς* **P₁ E**) *ἔχοντα σπιθαμῶν* (*σπιθαμὰς* **P₁ E**) **A P₁ E** || *ὀλίγῳ*] *καὶ* **A P₁ E** || *λαβδαρέαν* [cf. *Psaltes* p. 62; **Meursii** codex *λαμβδαραίαν*] **P₁**, *λαμδαρέαν* **E.**

καὶ κρατήσας αἰχμαλωσίαν καὶ πραῖδαν πολλήν, καί, ὡς ἔτι ἦν εἰς τὴν μέσην τῆς Συρίας, θέλων μετακινῆσαι ἐκ τοῦ ἀπλήκτου αὐτοῦ, ἐποίησε τοῦτο οὕτω καὶ ἧψε λαμπρὰ πολλὰ καὶ ἔλαθε τὸν εὐνοῦχον, τὸν Ἀλπαφέρ, ὅστις ἦν κεφαλὴ τοῦ τῶν Σαρακηνῶν φοσσάτου καὶ ἦν ἐγγὺς αὐτοῦ. διὰ δὲ τοῦ τοιούτου ἐπιτηδεύματος ἔλαθε καὶ διέσωσεν ἀβλαβῶς τὴν αἰχμαλωσίαν τῶν Σαρακηνῶν καὶ τὴν ἄλλην πραῖδαν, ὅσην εἶχεν.

26. εἰς δὲ τὸ ταξίδιον, τὸ κατὰ τῶν Βουλγάρων, καὶ ἄλλο ἐπενόησεν ὁ αὐτὸς στρατηγὸς χρήσιμον εἰς φύλαξιν ἀπλήκτου, ὅπερ ἁρμόζει, ἵνα μὴ λάθῃ. ἦν γὰρ ἐλαφρὸν εἰς
fo. 20v *τὸ βαστάζεσθαι καὶ ἀναγκαῖον εἰς τὸ | φυλάξαι. τοιοῦτον δὲ ἦν· κανόνια δύο ξύλινα*

1089—1090. Verbis *πολλὰ καὶ* desinit p || c. 1375 Lami *ἀπουλφὲρ* et C || 1093. *ταξίδιον* C; v. vss. 183., 442.

μῖξιν, ἕτερον δὲ κανόνιον ὁμοίως, ἔχον σπιθαμὰς πέντε ἢ καὶ ἕξ, τάξιν μεναύλου ἐν τῇ συμμίξει τοῦ δισκελίου ἐπιθεὶς τρισκέλιον ἐποίησεν, ἱστάμενον ἰσχυρῶς διὰ τῆς ἐπ' ἀλλήλων τῶν σκελῶν συγκροτήσεως. περὶ δὲ τὸ ἄκρον τοῦ οἷον μεναύλου ξιφάριον μέγα καὶ ἁδρὸν ἐνέβαλεν προκύπτον τοῦ τρισκελίου, ὡς εἴρηται, σπιθαμὰς δύο ἢ μικρῷ πλέον, καὶ οὕτω τοὺς ξυλίνους ἐκείνους τριβόλους, ὅτε ἐβούλετο, συστέλλων, ὅτε ἐβούλετο, πάλιν συνίστα, καὶ εἰς ὀχύρωμα εἶχεν (ὁμοῦ καὶ ὅπλα ἐν ταῖς ἀναγκαίαις χρείαις τοῦ ἀπλίκτου κατὰ τῶν δυναμένων ἐπέρχεσθαι καβαλλαρίων τῇ τῶν δυνάμεων ἡμῶν τάξει, τιτρωσκομένων ἐν ταῖς προσβολαῖς ὑπὸ τοῦ οἷον χά-

3253. ε AP_1E || **3254.** ς P_1E || *ὥσπερ μέναυλον* AP_1E || *δικελλίου* P_1E; postea inserunt AP_1E *ἐκείνου* || **3255.** *τρισκέλλιον* P_1E || **3256.** *σκελλῶν* P_1 || **3257.** *ἐκείνου τοῦ* AP_1E || In cod. P_1 *μεναύλου ου* in ras. est scriptum || Ante *ξιφάριον* AP_1E inserunt *ὄντος* || *ἁδρὸν* **M**, *ἄδρον* **W**, *ἀδρὸν* **Meursii codex**; *παχὺ* AP_1E || **3258.** *προκῦπτον!* || *τρισκελλίου* P_1E || **3259.** β P_1E || *ἢ μικρῷ πλέον* omm. AP_1E || *οὕτως* AP_1E || *ἐκείνους*] cff. vss. **1188.**, **1459.**, **3279.** || **3260—3261.** *συνέστελλέ τε καὶ πάλιν συνίστα* AP_1 et sic — omisso *τε* E || **3262.** *ἀπλήκτου* A, *ἀπληκτου* P_1E || *βουλομένων* AP_1E || **3263.** *τῇ τ. δ. ἡμῶν τάξει* omm. AP_1E.

